molestiæ est. Mercurio enim & Herculi palæstræ præsidibus nullo modo ne paulum quidem conuenit. Cotyttoni verò & aliis Atticis Conisalis consecratus est. Et si aliqui sunt huius monetæ alij dæmones, omnibus talibus eius cura est, & omnium ei. Ac sanè supplicium aliud non sumam de eo. Improbitas enim pœna sufficiens est improbo. Verùm cognitus non esse aptus ad viuendum cum philosophis heris, quibus domi sedentibus dedecus obambulat, habeat * vrbem quæ eum possidet *. Qui enim videt scortatorem incedentem per forum in corona, & vnguentis delibutum & comessabundum; & omni lasciuia refertum, & cantilenas cantantem dignas ipsius vita: in eos qui ipsum habent culpam confert. Da igitur operam, vt eum tradens nauiculario, nauigare cogas recta in patriam. Illa enim eum tulerit iustius. Nauiget autem vinctus in ipso nauis tabulato. Non enim in curuam nauim descendat. Alioqui

*ne hac reuertatur ad me, maneat in vrbe.

* Erat seruus iste Alexandriæ, vbi maxima est hominum celebritas frequẽtia.

ἔχει, καὶ πέρας ἀνδίας ἐστίν. Ἑρμῇ μὲν γὰρ καὶ Ἡρακλεῖ τοὺς παλαίστρας ἐφόρεις, οὐδὲ κατὰ μικρὸν πρέπει· Κοτυττοῖ δὲ καὶ τοῖς ἄλλοις Ἀττικοῖς κονισάλοις νεωκορεῖ, καὶ εἰ δή τινές εἰσι τούτου τοῦ κόμματος ἕτεροι δαίμονες, ἅπασιν αὐτοῖς μέλει, καὶ * πολύτων αὐτοῦ. γρ. καὶ πού-των αὐτοῦ. δίκην μὲν οὖν ἑτέραν οὐκ ἂν λάβοιμι παρ' αὐτοῦ. ἀποχρῶσα γὰρ ἡ πονηρία δίκη τῷ πονηρῷ. δοκιμασθεὶς δ' ἀνεπιτήδειος εἶναι συμβιοτεύειν φιλοσόφοις δεσπόταις, ὧν οἰκουργικώτων αἰσχύνη πρόξενός ἐστι, ἐχέτω τὴν * ἔχουσαν αὐτὸν πόλιν· ὁ γὰρ ἰδὼν τὸν πορνοτρίβα βοῶντα διὰ τῆς ἀγορᾶς, ἐν στεφάνῳ καὶ μύροις μεθύοντα καὶ κωμάζοντα, καὶ πάσης ἀκολασίας * ἐμπιπλάμενον, καὶ ᾠδὰς ᾄδοντα πρεπούσας τῷ βίῳ, ἐπὶ τοὺς ἔχοντας αὐτὸν τὴν αἰτίαν ἀνήγαγεν. ὅπως οὖν αὐτὸν παραδοὺς τῷ ναυκλήρῳ πλεῖν διαναγκάσῃς ἔξω τῆς ἐνεγκούσης αὐτόν. ἐκείνη γὰρ ἂν αὐτοῦ καὶ διάγοιτο δικαιότερον. πλείτω δὲ δεδεμένος ἐπὶ τοῦ καταστρώματος· μὴ γὰρ εἰς κοίλην ναῦν καταβαίη.

γρ. ἔχουσαν ὑμᾶς πόλιν

γρ. καταπιπλάμενον

ἐπεὶ μὴ θαυμάσῃς, εἰ συχνὰ τῶν κεραμίων ἡμιδεῆ σοι ποιήσειεν. εἰ δὲ ὁ πλοῦς παρατείνοιτο, καὶ μέχρι τρυγὸς ἂν ἐκφοροῖτο δι' ἀνθοσμίαν, καὶ τοὺς ναύτας δὲ δεῖν αὐτὰ ταῦτα ποιεῖν ἀναπείσειε. πρὸς γὰρ τοῖς ἄλλοις καὶ πιθανώτατον τὸ κακὸν, εἰς ἀπόλαυσιν ἡγήσασθαι. ἢ τίς οὕτως ἐμβριθής ἐστι τῶν μισθῷ πλεόντων τὴν θάλατταν, ὡς μὴ διαχυθῆναι τοῦ καθάρματος κορδακίσαντος ἐν τῇ τοῦ ποτηρίου περιφορᾷ. καὶ ἄλλα πολλὰ βωμολοχεύεται, πρὸς ἃ δεῖ πεφράχθαι τὸν ναύκληρον. ὁ μὲν οὖν Ὀδυσσεὺς ἵνα μὴ ὑφ' ἡδονῆς διαφθαρείη, τὴν σειρήνων ἀκοὴν δεδεμένος παρήμειβεν· οὑτοσὶ δὲ, ἵνα μὴ τοὺς πλέοντας ἡδονῇ * διαφθείρειεν, ἂν ἐκεῖνοι σωφρονῶσι, δεήσεται.

γρ. διαφθείρῃ

Τῇ φιλοσόφῳ.

Ἠχοῦς ἔοικα πρᾶγμα ποιεῖν. ἃς παρείληφα φωνὰς, ἀντιδίδωμι, δι' ὃν θαυμαστὸν Ἀλέξανδρον ἐπαινῶν παρὰ σοί.

Αὐρη-

Alioqui ne mireris si dolia multa semiuacua reddat. Si autem nauigatio longior sit, & ad fæcem vsque sorbuerit florem vini, & vero nautis persuaserit eadem facere. Nam pręter reliqua vitia aptissimum est scelus, vt ad voluptates vocet alios. Et quis vsque adeo est firmus & cōstans eorum qui mercede nauigant mare, vt non exhilaretur scelerato saltante, in poculi * circumlatione. Multa etiam alia scurriliter & facit & loquitur, contra quæ oportet nauclerum munitum esse. Ac sane Vlysses ne ex voluptate corrumperetur, Sirenum littus vinctus præteribat. Iste autem, ne nauigantes voluptate corrumpat, si illi sapiant, vincietur.

* *quando poculum circumfertur, & in orbem bibitur.*

Philosophæ. 33.

Hæc philosophia sibe controuersia dictissima fuit vt Alexandria profitebatur philosophiam Platonis & Aristotelis.

Imaginis Echus videor rem facere: quas accepi voces refero, admirādum Alexandrum laudans apud te.

Rhetorem contubernalem suũ Aureliano præfecto prætorio V.C cõmendat hac epistola.

Aureliano. 34.

Nondum prouidentiæ cura est Romanorum, verùm curæ erit aliquando, & non in perpetuum domi sedebunt qui Rempub. seruare solẽt. Verùm rhetori contubernali meo, etiam præsens quæ tibi adest potentia satis est ad id cuius indiget. fruatur quidem nunc iste solus illa, deinde cum gentibus omnibus etiam illa.

De quodam testamentorum captatore.

Fratri. 35.

Compendiariam maximè viam ad parandas diuitias incessit Athanasius. Animaduertit coram eundum esse ad morientes, & exigendum esse ab eis blandimentis & vi quidquid posset. Nõ igitur eum lateret seruus* publicus ad testamentum scribẽdum vocatus, sed statim intelligẽs emicat.

* *Serui publici instrumenta conficiebãt, & fungebãtur officio tabellionum.*

Eidem. 36.

Sextodecimo die mensis Septembris feliciter mortuus Castricius, hoc ipsum factus est, visum dirum cùm vidisset & narrasset.

Αὐρηλιανοῦ.

Οὔπω τῇ προνοίᾳ μέλει Ῥωμαίων, ἀλλὰ μελήσει ποτὲ, καὶ οὐκ εἰς ἄπαν οἰκουρήσουσιν οἱ τὰ κοινὰ σώζειν δυνάμενοι. ἀλλὰ τῷ γε ῥήτορι τῷ συνέδρῳ, καὶ ἡ προσοῦσά σοι δύναμις ἀρκεῖ* πρὸς ὃ τυγ- Γρ. πρὸς
χάνει δεόμενος. ἀπολαυέτω δὴ νῦν μὲν αὐ- ὅ,τι τυγ.
τὸς μόνος ταύτην, ἔπειτα μετὰ τῶν ἐθνῶν ἁπάντων κἀκείνης.

Τῷ ἀδελφῷ.

Ἐπιτρομοσπάτην οὐδὲν ἐπὶ τὸ πλουτεῖν ἐβάδισεν Ἀθανάσιος. ἔγνωκεν ὁμόσε ἰτέον εἶναι τοῖς ἀποθνήσκουσι, καὶ πρακτέον αὐτοῖς πειθοῖ καὶ βίᾳ πᾶν, ὅ,τι ἂν δύναιτο. οὐκ ἂν οὖν αὐτὸν λάθοι δημόσιος, ἐπὶ διαθήκῃ καλούμενος, ἀλλὰ συνεὶς ἄλλεται.

Τοῦ αὐτοῦ.

Ἑκκαιδεκάτῃ μηνὸς Ἀθὺρ, ὁ μακαρείτης Καςρίκιος αὐτὸ τοῦτο ἐγένετο, φάσμα χαλεπὸν ἰδών τε καὶ διηγησάμενος.

Ἀνυσίῳ.

Ἰωάννης, ὃν ὅ τι σε φιλεῖ δι' αὐτὸ τοῦτο φιμῶ, νόσῳ χαλεπῇ προσεπάλαισεν. ἦν δὲ αὐτῷ δεινὸν, οὐχ ἡ νόσος, ἀλλὰ τὸ σοῦ τῆς ἱερᾶς ἀπεῖναι κεφαλῆς· ἐπεὶ καὶ νῦν ἐν τοῖς ὁμοίοις ἐστί. τούτῳ* δέ τι καὶ τεῖρον προσὸν χαλεπωτέραν τὴν νόσον ποιεῖ. ἐρᾷ τοῦ τι ποιεῖν στρατιώτῃ πρέπον, καὶ δυσκόλως ἔχει πρὸς τὴν ἐξ ἀνάγκης ἀργίαν.

γρ. τούτου δή.

Αὐρηλιανῷ.

Οἶμαί σου τὴν θεσπεσίαν ψυχὴν ἐπ' αὐτὸ τοῦτο καταπεμφθεῖσαν, ἐφ' ᾧ κοινὸν ἀγαθὸν ἀνθρώπων ἐστί, καὶ χαίρειν εἰδέναι τοῖς συνιστᾶσι τοὺς δεομένους δικαίων, ὃ καὶ σοῦ πρεπούσας ὑποθέσεις τῇ φύσει πορίζονται. οὐ γὰρ ὅ τι συγγενής ἐστιν Ἡρώδης ἐμός, ἀλλ' ὅτι δεῖται δικαίων, διὰ τοῦτό σοι τὸν νεανίσκον συνίστημι, ὅς τις προγόνων λαμπρότατος ὢν καὶ τὴν πατρῴαν βουλὴν ὑποτελῆ τῇ συγκλήτῳ διαδεξάμενος, ἐπειδὴ γέγονεν ἡγεμὼν, ἀξιοῦται συντελεῖν, ὥσπερ οἱ νεόβουλοι, καὶ [illegible]

Anysio. 37.

Ioannes, quem quia te amat, ob hoc ipsum amo, graui morbo conflictatus fuit. erat autem ei acerbum nõ morbus, sed quòd à te diuino capite abesset. & nunc eodem morbo afficitur: huic etiam quid accessit, quod acriorem & molestiorem morbũ reddit. cupit aliquid milite dignum facere, & iniquo fert animo hanc ex necessitate natam desidiam.

Aureliano. 38.

Commendat Herodem propinquum suum.

Diuinum tuum animum ob hoc ipsum demissum arbitror, vt commune quoddam hominibus bonum sit, & gratiam habere his, qui commendãt eos, quibus iuris auxilio est opus, quòd materiam naturæ tuæ conuenientem suppeditant. Nõ enim quia propinquus est meus Herodes, sed quia æqua postulat, ob id tibi iuuenem commẽdo, qui à maioribus cum sit illustrissimus & paterno agro, curiæ vectigali, successerit, postea-quam adeptus est magistratum*, rogatur vt tributum conferat, quemadmodum noui curiales, & duplici

* *factus est duumuir.*

fungatur munere:partim quidem ob patrimonium:partim autem ob magistratum quem gessit.

Fratri. 39.

Trahit me ad te desiderium & vtilitas. Interrogo igitur an expectes me venturum.

Vranio. 40.

Mittit Synesius equum ad Vranium quem hac epistola commendat.

Misi tibi munus equum summa indole præditum ad omnem virtutem equo conuenientem, quo quidem vtêris in Circensibus ludis: vtêris etiam cum ad venationem exibis, & in bellicis certaminibus. Et cùm duces ob Libycum trophæum pompam triũphalem. non enim scio quid magis sit, venatorius an desultorius circensis, triumphis aptior, an bellis. Quod si Nissæis* equis aspectu deformior est, cum sit asper, & extuberans capite, & strigosis lumbis: fortasse quidem nec equis, quemadmodum nec hominibus, omnia simul largitur Deus*. Vide autẽ ne istud vitiũ ad illas, quas dixi, ei virtutes conferat, si id à natura cõsecutus sit, vt potius durior quã mol-

* *Nissæi equi erant omnium præstantissimi & pulcherrimi, de quibus vide Straboñe Dionem Prus. & Oppianum lib. de Venat.*

* *Alludit ad dictum Homeri.*

διπλοῖς λειτουργός· ὃ μὲν τοι διὰ τὴν οὐσίαν, ὃ δὲ, δι' ἣν ἦρξεν ἀρχήν.

Τῷ ἀδελφῷ.

Ελκει με παρὰ σὲ πόθος καὶ χρεία· πυνθάνομαι τοίνυν* εἴπερ μένεις ἥξοντα. γρ. εἴπερ μένοις

Οὐρανίῳ*. γρ. Χρύσῃ.

Επεμψά σοι δῶρον ἵππον ἀκροφυέστατον εἰς ἅπασαν ἀρετὴν ἵππῳ προσήκουσαν, ᾧ χρήσῃ μὲν ἐν ἁμίλλαις δρόμων· χρήσῃ δὲ ὅταν ἐπὶ θήραν ἐξάγῃς, καὶ ἐν ἀγῶσι πολεμικοῖς· καὶ ὅταν κατάγῃς ἐπὶ τῷ Λιβυκῷ τροπαίῳ πομπὴν ἐπινίκιον. οὐ γὰρ οἶδα ὅ, τι μᾶλλόν ἐστι κυνηγέτης, ἢ κέλης ἐναγώνιος, ἢ πομπεὺς, ἢ πολεμιστήριος. εἰ δὲ Νισαίων ἵππων ἰδέαν ἐστὶν ἀειδέστερος, ὀγκώδης τε ὢν τὸ κρανίον, καὶ λειπόσαρκος τὴν ὀσφύν· τάχα μὲν οὐδὲ τοῖς ἵπποις, ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις, ἅμα πάντα δίδωσιν ὁ θεός. μή ποτε δὲ τοῦτο καὶ πρὸς ἐκείνας αὐτοῦ τὰς ἀρετὰς συντελεῖ, εἰ τὰ μαλακὰ τῶν σκληρῶν ἐλάττω παρὰ τῆς φύσεως ἐκλη-

γρ. μὲν ῥώσατο· πρὸς γέ * τοι τοὺς πόνους ὀστέα σαρ-
τοι κῶν οἶδα διαφερέστερα. οἱ μὲν οὖν παρ' ὑ-
μῖν ἵπποι ταῖς σαρξὶ πλείους εἰσὶν, οἱ δὲ ἡ-
μέτεροι τοῖς ὀστέοις.

Ἑταίρῳ.

Ἐμισθωσάμην σοὶ ναῦν ἀνθρώπων
εὐγενῶν, καὶ πλεόντων τὴν θάλατταν μετὰ
πλείονος τέχνης, ἢ τύχης. ὡς ἄγε Καρ-
παθίων ὁλκάδες φήμην ἔχουσι διανοίᾳ
κεχρῆσθαι, καθάπερ αἱ Φαιάκων τῶν πά-
γρ. θυέ- λαι, πρὶν ἐπὶ τὴν νῆσον ἥκειν * τὸ δαιμό-
ασθαι τὸ νιον μήνιμα.

γρ. Γεν- Κληδονίῳ *.

ναδίῳ. Συγγενὴς ἐμὸς ἀδικεῖται, σὺ δὲ καὶ
φίλος εἶ, καὶ δικάζειν ἔλαχες. ἐκ μιᾶς
οὖν προσοχῆς, ὅπερ ἀρκεῖ σοὶ κἀμοὶ καὶ
τοῖς νόμοις χαρίσασθαι· ἐπιλύτω τοίνυν Α-
σφάλιος εἰς τὸ δεσπότης εἶναι τῶν κεραμίων, τῇ
τοῦ παιδὸς διαθήκῃ προσλαβὼν τὴν ἀπό-
φασιν, τῆς κατηγορίας οὐκ ἐσομένης ἐμ-
ποδὼν τοῦ παραυτίκα τῆς ἀκροάσεως· πό-
τε γὰρ δὴ δικαιοδοτεῖν, ἢ τὸν χρόνον,

lior ſit. Sanè quò ad labores, oſſa quã carnes ſcio aptiora. Igitur veſtri equi carnibus vberiores ſunt, noſtri autem oſſibus.

Sodali. 41.

Conduxi tibi nauem ſtrenuorum hominum, & nauigantium mare maiore cum arte, quã fortuna. nam Carpathiorum onerarias fama eſt mente præditas eſſe, quemadmodum Phæacum * priſcorum, priuſquam in inſulam graſſata eſſet ira diuina.

* *Alludit ad locum Homeri Odyſſ. 9.*

Cledonio. 42.

Commendat iudici cuiuſdam propinqui ſui cauſam, cui adẽpta fuerant multa dolia.

Propinquus meus iniuria afficitur, & tu amicus es, & munus iudicandi ſortitus. Ex vna igitur cognitione licebit & mihi & legibus gratum facere. reuertatur igitur Aſphalius ad dominium doliorum, ad teſtamentum patris accipiens ſententiam iudicis accuſatione non futura impedimento repræſentationi auditionis. quando enim oportet ius reddere, niſi illo

tempore quo maximè Dei ope indigemus?

Anaſtaſio: 43.

Soſenæ quis perſuaſit vel Deus, vel ſermo, vel genius, quod etiam de locis aliquid euenit hominibus, ad conſequendum, & non conſequendum propitium Deum. Agitans igitur miſerè apud nos, & patrimonio planè exciſus, decreuit nauigare in Thraciæ regiones, illic in gratiam rediturus cũ fortuna. Si igitur tibi intercedit aliquid amicitiæ cum Deo illo, commendato & iuuenem, & inueniat aliquam rationem rei quærendæ. facile eſt volenti; nam & bona Nonni qui Soſenam genuit, nullo negotio ad alios tranſtulit. reddat igitur Soſenam heredem alieni patris. exſtiterit enim ſic ex iniuria ius.

Ioanni. 44.

Suadet Ioãni vt ſe legibus ſubiiciat, & factum ſuum purget.

Quemadmodum alias ſæpenumero tibi, cùm occaſio poſtulauit, profui, & conſolatus ſum infortunium fortunæ, quædam dicens,

ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ θεοῦ.

Ἀναστασίῳ.

Σωσιναῦ τις ἔπεισεν ἢ θεὸς, ἢ λόγος, ἢ δαίμων, ὅτι καὶ παρὰ τὰ χωρία τι γίνεται τοῖς ἀνθρώποις, εἰς τὸ τυγχάνειν τε καὶ ἀποτυγχάνειν ἀμφοτέροις τοῦ θεοῦ. παρέπλων οἷον πονήρως παρ' ἡμῖν, καὶ τῶν πατρῴων ἀκριβῶς ἐκκοπεὶς, ἔγνωκε πλεῖν εἰς τὰ ἐπὶ Θρᾴκης χωρία*, ἐκεῖ διαλλαγησόμενος γρ. πε-
περὶ τὴν τύχην. εἰ δή σοι φιλία τις περὶ δία, ἐ.
τὸν δαίμονα, σύστησον αὐτῇ τὸν νεανίσκον, καὶ ἐξευρέτω τινὰ πόρον αὐτοῦ χρημάτων, ῥᾷστον δὲ βουλομένῃ· καὶ γὰρ τὰ Νόννου τοῦ Σωσιναῦ φύσαντος, οὐ χαλεπῶς εἰς ἑτέρους μετέθηκεν. ἀποφηνάτω δὴ καὶ Σωσιναῦ κληρονόμον ἀλλοτρίου παιδός. γένοιτο γὰρ ἂν οὕτως ἐξ ἀδικίας τὸ δίκαιον.

Ἰωάννῃ.

Ὥσπερ ἄλλοτε πολλάκις ἐπὶ τῶν καιρῶν ἐγενόμην σοὶ χρήσιμος, καὶ παραμυθησάμην δυσχέρειαν τύχης, τὰ μὲν λέγων,

τὰ δὲ ποιῶν, ὡς ἑκάστοτε ἡ δύναμις ὑπηρέτει· καὶ νῦν περὶ τῶν καταλαβόντων σε πραγμάτων δοκεῖ μοι συνεστηκέναι τινὰ γνώμην, ὅπου μὴ ἔργον δύναμαι. Συνέστιον γὰρ οὐ θέμις, ἕως ἐμπνεῖ τε καὶ δύναται, μὴ οὐχὶ παντὶ τρόπῳ προθυμεῖσθαι τοὺς φίλους ἀγαθόν τι ποιεῖν. ἄκουε τοίνυν ἅ μοι καλῶς ἔχει διαλεχθῆναι πρὸς σέ. εἰ μὲν θεός ἐστιν ἡ φήμη κατά τινα τῶν παρ' ἡμῖν ποιητὴν, σὺ διεχειρίσω τὸν μακαρίτην Αἰμύλιον, οὐ πράξας, ἀλλὰ βουλεύσας τὸν φόνον· καὶ βαρβαρικὸν μὲν δρᾶμα συνθεὶς, τὸν σφαγέα δὲ καθεὶς ἐκ τῶν σαυτοῦ λοχιτῶν τὸν ὠμότατον. λέγει μὲν γὰρ ἡ φήμη ταῦτα, ψεύδεσθαι δὲ οὐ θέμις, οὖσαν θεόν· εἰ δὲ Ἡσίοδος μὲν οὐδὲν λέγει, πολλὰ δὲ λέγεται μάτην, καὶ τοῦτο περὶ σοῦ τῶν πολλῶν ἐστιν ἓν, ὡς ἔγωγε βουλοίμην ἄν. περὶ ἐλάττονος γὰρ ποιοῦμαι τὴν ἐν ἀργυρίῳ ζημίαν, ἢ τὴν ἐν φίλῳ· καὶ νῦν δὴ οὐχ ὑπαίτιος ὢν ἀκοῆς κακῶς, ἀτυχεῖς μὲν ἄρα· ἀλλ' οὐκ ἀδικεῖς·

quædam faciens, vt cottidie vires suaserunt: ita nunc de rebus, quæ tibi acciderunt, placet mihi conferre aliquam sententiam, quandoquidem rem aliquam non possum. Synesium enim fas non est quamdiu spirat & potest non modis omnibus promtum esse ad bene de amicis suis merendum. Audi igitur quæ honestum est mihi apud te differere. Si Dea est fama, quemadmodum censet aliquis nostrorum poëtarum*, tu interfecisti beatum Æmilium non patrata, sed deliberata & consulta à te cæde; & barbaricam composuisti tragœdiã percussorum, summisso ex tuis mãpularibus immanissimo. Narrat ista fama, mentiri autem ei nefas, cùm sit Dea. Sin Hesiodus quidem nugatur, & multa narrantur falso, & istud quod de te narrarur è multis vnum est, hoc quidem optarim, minoris enim facio pecuniæ, quàm amici iacturam: & nunc si non affinis culpæ audis male, sanè quidem infelix es, non tamen es improbus:

* *Hesiod. lib. 2. in fin.*

ac vtinam ne miser quidem esses. verùm vt illo quidem pacto tibi odium deberetur iustum : sic & misericordia. Ego quidem valdè mihi videor captus consuetudine, vt etiam illo modo facinus quidem odio prosequar, tui tamen miserear. miserentis verò est, opem ferre pro viribus, & inuenire vnde censeat prodesse se posse. Igitur in vtroque oportet me tibi consulere quod optimũ videtur. videtur autem idem esse vtile, siue culpæ sis obnoxius, siue secus. Legum imperio te subiice, & teipsum iudici trade cum plerisque manipularibus, si quid sollicitus es de eis. Et siquidem patratum est scelus precator, supplicato, obsecrato, te ad iudicũ pedes prouoluere ne desinas, donec impetraueris, vt tradaris ex sententia calculóque iudicis carnifici, & supplicium des. honori tibi vertetur apud infera iudicia, ô sodalis Ioannes, ante purgatum hinc abire. Ne verba esse putes consilium meũ, neq; illudere me existimes tibi; sic me sancta philosophia iuuet, & præterea mei liberi

ὡς ὤφελες μηδὲ ἀτυχεῖν· ἀλλ' ἐκείνως
μὲν ἄν σοι μῖσος ὠφείλετο δίκαιον· οὕτω δὲ
καὶ ἔλεος. ἐγὼ δέ μοι δοκῶ λίαν ὑπὸ συ-
νηθείας ἁλώσιμος ὤν, κἀκείνως ἂν τὴν μὲν
πρᾶξιν μισεῖν· σὲ δὲ ὅμως ἐλεεῖν. τοῦ δὲ ἐ-
λεοῦντός ἐστι, βοηθεῖν ὅση δύναμις, καὶ ἐξευ-
ρίσκειν, ὅθεν ἂν οἴηται ὀνῆσαί τι. οὐκοῦν καθ'
ἑκάτερον* μοι προσήκει συμβουλεῦσαί σοι τὸ γρ. ἐπι-
φαινόμενον βέλτιστον. ἔοικε δὲ ταὐτὸν εἶναι τῆς ἐμοί μοι
συμφέρειν αἰτίῳ τε ὄντι καὶ ἀναιτίῳ. ἴθι πα- τρόπον
ρὰ τοὺς νόμους, καὶ σαυτὸν ἐπίδος τῷ δικα- παρ.
στῇ μετ' ἀθρόων τῶν λοχιτῶν, εἴπη κήδη κἀ-
κείνων· καὶ εἰ μὲν ἐπαρέλθῃ τὸ δεινόν, δεή-
θητι, καθικέτευσον, ἀντιβόλησον, μὴ ἀνῇς
παρακαλινδούμενος, πρὶν ἂν διαπράξῃ
τὸ * παρὰ τῆς ψήφου συστῆναι δημίῳ, καὶ γρ. τοῦ
δοῦναι τὴν δίκην· ἐν καλῷ σοι κείσεται πα- παρὰ
ρὰ τοῖς κάτω δικαστηρίοις, τὸ προκαθηρη-
μένον ἀπελθεῖν, ἑταῖρε Ιωάννη. μὴ λόγον ἄλ-
λως οἰηθῇς τὴν παραίνεσιν, μηδὲ προσπαί-
ζειν με νομίσῃς σαυτῷ· οὕτω τῆς ἱερᾶς φι-
λοσοφίας ὀναίμην, καὶ προσέτι τῶν παιδίων

τὴν ἐμαυτοῦ, ὡς οὐκ ἂν μὴ φιλτάτῳ σοὶ τυγχάνοντι, συνεβούλευσά τι τοιοῦτον, ὅγε ἀπεύχομαι τοῖς ἐχθροῖς τοῖς ἐμοῖς· καὶ μή ποτε αὐτοῖς ἐπὶ νοῦν ἀναβαίη, ὃ, κάλλιον εἶναι τὸν ἀδικοῦντα δοῦναι τιμωρίαν αὐθαίρετον. ἀλλὰ μηδὲ παύσαιντο εὐτυχοῦντες ἐν οἷς ἀδικοῦσιν, ἵνα πλείω τε χρόνον εἶεν κακοὶ, καὶ πάσας ἐκεῖ τὰς δίκας ὀφείλοιεν. πρὸς σὲ διὰ φιλίαν κινδυνεύω τι καὶ τῶν ἀπορρήτων εἰπεῖν, ὡς ἀνόμοιόν ἐστιν ἐν παχεῖ σώματι, καὶ ἐν εἰδώλῳ δοῦναι τὴν δίκην. ἱερώτερον μὲν γὰρ ὁ αἰθέριος θεός· τοῦ δὲ θείου παντὸς διακόσμου, σκιὰ δὲ αἰθέριον· ἀλλ' ὅσοιπερ εἰσὶν ἐν ταῖς πολιτείαις οἱ δήμιοι, χεῖρες τῶν νόμων, τὴν αὐτὴν αἱ ποιναὶ χρείαν τῇ φύσει τοῦ κόσμου παρέχονται· δαίμονές εἰσι καθαρτήριοι, τέχνην ἔχοντες ἐπὶ ταῖς ψυχαῖς, ἣν οἱ κναφεῖς ἐπὶ τοῖς ἱματίοις τοῖς πιναροῖς· ἀλλ' εἴ τις ἱματίοις αἴσθησις ἦν, τί ἂν οἴει πάσχειν αὐτὰ λακτιζόμενα, καὶ κνιζόμενα, καὶ πάντα τρόπον κναπτόμενα. διὰ πόσων δ' ἂν ὀδυνῶν ἐκπεπλύσθαι κηλῖδας

ἀρχαίας

liberi: & nisi charissimus esses tale quid non cōsuluissem tibi: quod quidem deprecor ne eueniat inimicis meis, nec vnquam eis in mentem veniat satius esse scelestum sponte pœnas dare: sed nunquam desinant felices esse in suis sceleribus, vt diutius sint improbi, & omnia illic supplicia debeant. Apud te ob amicitiam, quæ mihi tecum intercedit, cogor aliquid etiam eorum quæ arcana sunt dicere, eo quod dissimile sit in crasso corporeo, & in simulachro dare pœnas. fortior enim homine Deus est: cum res humanæ sint omnino diuinæ descriptionis & ordinis vmbræ. Id quòd in rebus publicis sunt carnifices, manus legum. eundem furiæ vsum naturæ mundi vniuersi præbent. Genij sunt purgatorij, artem habentes in animas, quam fullones in vestes sordidas. Verùm si quis vestibus sensus esset, quid censes passuras fuisse, dum pedib. calcantur, & nitro curantur & quouis modo carpendo bellicandoque expoliuntur. Quantis autem cum doloribus in eis eluuntur maculæ ve-

teres & inhærescentes labes? Prætermitto enim dicere quod in multis macula sic inhærescit vehementer in alto, vt indissolubilis sit, & ante pereāt vestimenta, quàm redeant ad naturam, quia * malum ipsis factum est natura, aut ob longinquitatem temporis, aut propter magnitudinem maculæ. Sic affecto animo vtile foret esse mortali. Nunc autem peccata proportionem habent ad maculas quæ elui non possunt: Animus verò non item ad vestimentum illud sordidum nec resistens: sed cùm sit immortalis, luit pœnam immortale, mvbi maleficia perpetrauit pertinácia & ineluibilia. Sed quiqui in qua peccauit vita pœnas dederit, non valde inhærescens habet & insidens vitium. verùm quemadmodū quis dicere posset, nuper infecta peccato cùm sit anima, celerrimè expurgatur. Proinde dare oportet quā celerrime fieri potest pœnas, & vindicib. hominibus, non autē dæmonibus. Narratur sermo quidam qui mihi fidē facit penes eos esse qui læsi sunt, longiora reddendi & corripiendi supplicia. Proinde simile est

Vitium in naturam abit.

Metaphora est ducta à tinctura.

ἀρχαίας καὶ προεστηκότα ὀμόργματα. ἐῶ γὰρ λέγειν ὅτι πολλοῖς ὁ ῥύπος οὕτως ἐνέφυ σφόδρα διὰ τοῦ βάθους, ὡς ἀναπάλλακτος εἶναι, καὶ φθάνει διαφθαρέντα, πρὶν εἰς τὴν φύσιν ἐπιδυθῆναι, ὅτι τὸ πάθος αὖθις γέγονε φύσις, ἢ διὰ χρόνου πλῆθος, ἢ διὰ μέγεθος. οὕτω δὲ ἐχούσῃ ψυχῇ καλῶς ἂν εἶχεν εἶναι φθαρτῇ· νῦν δὲ τὰ μὲν ἁμαρτήματα λόγον ἔχει πρὸς τὰς ἀνεκπλύτους κηλῖδας. ἡ ψυχὴ δὲ οὐκ ἔτι πρὸς θοιμάτιον ἐκεῖνο τὸ πιναρόν τε καὶ οὐκ αἰτέχον, ἀλλ' ἀθάνατος οὖσα, τίνει δίκην ἀθάνατον, ὅταν ἁ-
μαρτῇ δυσαποπλυτά τε καὶ ἀναπόνιπτα. ἀλλ' ἐν
ᾧ γάρ τις ἡμάρτε βίῳ δίκας διδοίς, * οὐ πά- γρ. ὕπτια
νυ προεστηκὸς ἔχει καὶ προεσοιζησάμενον τὸ πά- προστεῖ,
θος· ἀλλ' ὡς ἂν εἴποι τις, δευσοβαφὴς οὖσα ψυχὴ, τάχιστα πλυνεται· διὸ δοτέον ἐστὶν ὡς ἐν διὰ τάχους τὴν δίκην, καὶ τιμωρεῖς ἀνθρώποις, ἀλλὰ μὴ δαίμοσι. λέγεται δὲ τις λόγος, ὡς με πείθει, τοὺς ἠδικημένους κυρίους εἶναι, μακροτέρας τε ποιεῖν, καὶ ἐπιτείνειν τὰς τιμωρίας· διὸ παραπλήσιόν ἐστιν ἕνα

κακὸν τι μέγα ἐργάσασθαι, καὶ πολλοὺς κατὰ μικρὸν ἀδικῆσαι. ἐπέξεισι γὰρ ἕκαστος ἐν τῷ μέρει, καὶ δεῖ πᾶσιν ὑπηρετῆσαι τὴν δίκην· ὅταν δέ τις ἰάσιμος ᾖ, μέγα παρὰ τῷ δικαστῇ δύναται, * τῷ τοσαῦτα πεπονθέναι τὴν ψυχὴν, ὡς ἤδη παρ' αὐτῶν τῶν ἠδικημένων ἔλεον * ἀρέσθαι· πότε τοίνυν εἰκός ἐστι τῆς μακαρίτιδος Αἰμυλίου ψυχῆς συγγνωμονεστέρας τυχεῖν. ἐγὼ μὲν οὕτω οἶμαι, μᾶλλον δὲ οἶδα σαφῶς, ὡς ἅπας ἱκέτης αἰδέσιμος, ὅστις ἑαυτὸν τιμωρῆται· καί τις ἤδη παρ' ἡμῖν εἰς ἀπολογίαν ἁμαρτήματος καταστὰς, αὐτῷ τῷ φθάσαι τὴν αἰτίαν ὁμολογῆσαι, καὶ φῆσαι κολάσεως ἄξιος εἶναι, τὴν κόλασιν ἐξωνήσατο· ὁ δὲ ἐνδυσωπηθῆναι τοῖς δι' ἅ τις ἠδίκησεν, εἴτε χρήμασιν εἴτε σώμασι, βαρυθυμότερον τὸν ἠδικημένον καθίστησι. καὶ τίς ἂν γένοιτο τοῦ σώματος ἐξελθὼν, εἴθ' ὑπὸ βιαίας δίκης, εἴτε ἕτερον τρόπον, κἄπειτα αὐτὴν τὴν ψυχὴν αὐτῇ τῇ ψυχῇ θεασάμενος, οὐκ οὔσης ἀρνεῖσθαί σοι γλώττης, ἀλλ'

Γρ. τὸ τοσαῦτα

γρ. εὑρέσθαι

in vnum magnum aliquod malũ commisisse, & multos leuiter læsisse. Insectatur enim vnusquisq; vicissim, & oportet omnibus iustitiã operam dare. Cùm autẽ aliquis curabilis sit, multũ apud iudicem potest: propterea quòd tam multa passus sit illius animus, vt ab iis qui læsi sunt misericordiam iam consecutus fuerit. Quando igitur cõsentaneum est beatã Aemylij animã ad veniam propensiorem habere? Ego verò existimo; immo certo scio, quod omnis supplex reuerentia sui veniam meretur, qui seipsum puniit. Atque aliquis iam apud nos ad causam dicendam sceleris alicuius adductus, eo ipso quod occupauerit crimen confiteri, & dixerit supplicio se dignum esse, supplicium redemit. Cæterum perfrui iis, ob quæ quispiam iniuriam intulit, siue pecuniis, siue corporibus, multo acerbius iratum eum qui læsus est reddit. Et qualis fueris è corpore egressus, siue violento supplicio, siue alio modo, deinde ipsum animum tuo animo cernes, cum tibi non sit ad inficiandum lingua, verùm

insculptum habens signum facinoris, non caligabis? non inops mentis & consilij eris? traheris tacitus & exponeris supplicio, & tu & ego, & omnis qui non ante expiatur pœnitentia publica. Verum virum se præstare oportet, ô generose. vtinam sis generosus: & voluptates quidem cõtemnere oportet, quas per scelus cõparauimus: Homines autem non oportet reuereri; verùm iudici confitendum est facinus. Placandæ autem sunt præsenti supplicio quę sunt apud inferos furiæ. Nam cùm maximum sit bonum non peccare, bonum secundum est affici supplicio. Qui autẽ perdiu sceleratus impunitus manet, eum oportet existimare infelicissimum, de quo neque Deus neque homo sollicitus est. Considera etiam hoc modo: Impunitum esse, noxium & dicitur & auditur. Igitur punitum esse bonũ est: nam contrario contrarium ratio tribuit. Si igitur pręsẽs essem, nihil oporteret te negotij & molestiarũ habere, pudorẽ & ruborẽ remouẽtẽ, & teipsũ deferẽtem: verũ meipsum cõstituerẽ

ἐγκεχολαμμένον ἔχων τοὐπίσημον τῆς πράξεως. οὐκ ἰλιγγιάσεις; οὐκ ἀπορήσεις; ἕλξῃ σιγῶν καὶ ἐκκείσῃ τῇ δίκῃ, καὶ σὺ κἀγώ, καὶ πᾶς ὃν οὐ προσκαθαίρει μετουσία δημοσιευθεῖσα. ἀλλ' ἀνδριστέον, ὦ γύναι· γυναῖος γὰρ εἴης· καὶ τὴν μὲν ἡδονὴν ὑπεροπτέον, ἃς ἀδικοῦντες ἐπορισάμεθα· τοὺς δὲ ἀνθρώπους οὐκ αἰσχυντέον· ἀλλὰ τῷ δικαστῇ μὲν ὁμολογητέον τὴν πρᾶξιν· ἐξιλαστέον δὲ τῇ παραυτίκα πρὸς τὰς κάτω ποινάς. μεγίστου γὰρ ὄντος ἀγαθοῦ τοῦ μὴ ἁμαρτεῖν, δεύτερον ἀγαθὸν τὸ δικαιωθῆναι. ὅστις δὲ χρόνον πολὺν ἀδικῶν ἀκόλαστος μένει, τοῦτον δεῖ νομίζειν τὸν ἀτυχέστατον, ὃν μήτε θεός, μήτ' ἄνθρωπος κήδεται. σκόπει γὰρ καὶ ταύτῃ. τὸ ἀκόλαστον εἶναι, πρὸς κακοὺς καὶ λέγεται καὶ ἀκούεται. οὐκοῦν τὸ κεκολάσθαι πρὸς ἀγαθούς. τῷ γὰρ ἐναντίῳ, τὸ ἐναντίον ὁ λόγος νέμει· εἰ μὲν οὖν ἐγὼ πρώην ἐτύγχανον, οὐδὲν ἂν ἔδει σὲ πρᾶγμα ἀρεῖν ἀπερυθριῶντα, καὶ σαυτὸν καταγγέλλοντα· ἀλλ' ἐμαυτὸν ἂν ἔταξα

συνηγορήσοντά σοι· καὶ προσήγαγον ἂν σε καθαρὸν ἱεροῖς τοῖς νόμοις· ἀνόητος μὲν γὰρ ἄν τις εἶπεν, ὡς Συνέσιος Ἰωάννου κατηγορεῖ· σὺ δ' ἂν ἠπίστασο τἀληθὲς, ὅτι φειδοῖ καὶ κηδεμονίᾳ τῇ σῇ τὴν κατηγορίαν εἱλόμην, ἵν' ὡς ἐν κακοῖς ἄμεινον πράξειας. ἀλλὰ ταῦτα μὲν, εἴτ' ἀδίκημα γέγονεν, ὃ μὴ γένοιτο σοῦ τε ἕνεκα καὶ τῆς πόλεως· ἅπασα γὰρ ἂν εἴη μιαρὰ τῷ φόνῳ, τολμηθέντος αἵματος ὁμογνίου· εἰ δὲ σὺ καθαρὸς καὶ χεῖρα καὶ γνώμην· εἴη δὲ οὕτως· ἐπάρατοι μὲν οἱ ταῦτα συνθέντες ἐπὶ σοὶ, κἀκείνους δὲ περιμένει τὰ κατὰ γῆς κολαστήρια. ὡς οὐχ ἕτερος οὕτω τρόπος θεομισὴς, ὡς ὁ λογοποιὸς, ὁ ὑπερώσκων ἐξ ἀφανοῦς· ἀγεννέστατος γὰρ ὢν, μέγιστα κακὰ διαπράττεται. καὶ λέγεται τις αὐτοῖς μοῖρα κιναίδοις προσκεῖσθαι, καὶ τὴν ἐν τῇ τέχνῃ τοῦτ' εἶναι τὸ κράτιστον· ἐπεὶ καὶ πρὸς ἄλλα πολλὰ σφισὶ γίνονται καὶ εὐμήχανοι· ὥστε ἄν τις ἀλῷ φήμας ἐπὶ τοῖς οὐκ οὖσι ποιῶν, τοῦτο ἐκεῖνο,

tibi patrocinari. Et te ad leges adducerem tanquam ad medicos. ſtultus ſanè aliquis diceret, quòd Syneſius Ioannem accuſat. Tu autem intelligeres verũ, quòd miſericordia & ſtudio tui accuſationem ſuſciperẽ, vt in malis fœlicius agitares. Verũ iſta quidem faciẽda ſunt, ſi facinus patratum eſt; quòd vtinã ne euenerit & tua cauſa & ciuitatis: tota enim contaminata eſſet cæde, patrato homicidio gentilitio: ſin tu purus & manu & animo es, quòd vtinam ita ſit, execrabiles ſunt iſti qui iſta contra te compoſuerunt, atque illos expectant pœnæ infernæ. Nam non alia morum conditio, vſq; adeo Deo inuiſa, vt eorum qui ferunt ſermones, qui vulnerant ex occulto. Nam cùm maximè ſint degeneres maxima mala efficiunt. Et dicitur quoddam fatum ipſis impudicis attributum eſſe & in illa arte cinædorum hoc eſſe præſtãtiſſimum. Nam etiã ad alia multa docti ſunt & ingenioſi. Proinde ſi quis deprehendatur rumores in rebus falſis procreans, hoc

ipso, nec interroges, nec dubites. verùm, etiamsi rigidissimus esse videatur, audacter pronunciato virum semimulierem esse, planè sodalem deæ obscænitatis. Tibi autem licet hac oratione ostendere calumniatricem esse opinionem; si & teipsum & tuos tradas iudicio. Dicito enim ingressus tribunal, Mei accusatores sunt clandestini, qui præiudicio suo seipsos damnantes postulant latere; verũ tamen obiiciunt simul multa & grauia, & ferè persuadent nonnullis. Sic sunt insidiosi & apti ad tradẽdum sermonem famæ. Deinde cõmemorans causas ob quas male audis, nuptias & cædem sceleratam: quando quidem Spatalum, vt arbitror, quendam, dicunt à te summissum patrasse cædem: hunc simul adducens rogato iudices, obsecrans & accidens ad eorum genua, ne discedas, sine inquisitione, neque indicta causa*condemnêre. Non enim (præstantissime præsidum, dices) propterea quod crimen palam nemo detulit, idcirco te committere oportet, ne per omnem pro-

μηδὲ ἐπαλυέρῃ, μηδὲ διστάσῃς. ἀλλὰ κἂν στερεώτατος εἶναι δοκῇ, θαῤῥῶν ἀπόφαινε τὸν ἄνδρα, ἡμίγυνον, ἀσέλγημα θιασώτην τῆς Κότυος. εἰ δὲ ἔξεστιν ἀπὸ τῶν λόγων τούτων, ἀποφῆναι συκοφαντοῦσαν τὴν δόξαν, εἰ σαυτόν τε καὶ τοὺς σοὺς ἐπιδοίης τῇ δίκῃ. εἰπὲ γὰρ εἰσελθὼν, ὡς ἐμοῦ κατήγοροί τινές εἰσιν ἀφανεῖς, οἳ προκατεγνωκότες αὐτῶν, ἀξιοῦσι λανθάνειν. κατηγοροῦσι δὲ ὅμως πολλὰ καὶ χαλεπὰ, καὶ κινδυνεύουσι πείθειν ἐνίους. οὕτως εἰσὶν ἐπίβουλοι καὶ δεινοὶ παραδοῦναι λόγον τῇ φήμῃ. κᾆτα διεξελθὼν τὰς αἰτίας * ἐφ' αἷς ἀκούεις κακῶς, γάμον καὶ φόνον ἀνόσιον, ἐπειδὰν Σπάταλον * εἶναί τινα φασὶ παρὰ σοῦ τὸν καταχθέντα καθεῖον ἐξεργάσασθαι τὸν φόνον, τοῦτον ἅμα προστάγων δεηθῆναι τοῦ δικαστηρίου λιπαρῶν καὶ προσαιτῶν, μὴ ἀνεξέταστος ἀπελθεῖν, μηδὲ ἐρήμην ἁλῶναι. οὐ γὰρ δὴ, κράτιστε τῶν ἡγεμόνων ἐρεῖς, διότι γραφὴν εἰς τοὐμφανὲς οὐδεὶς ἀπηνέγκατο, παρὰ τοῦτό σε δεῖ ποιήσασθαι, ὃ μὴ διὰ πάσης

γρ. ἐν αἷς

γρ. οἱ μέν τινα, φασί, ὑπὸ σοῦ καθ.

ἔξωθεν βασιλείου, μετιόντα καὶ θηρώμενον τὴν ἀλήθειαν. ὁ διαβεβοημένος Σπάταλος, ὅσπερ ἐστίν. ἔχεις τὸν ἄνδρα· χρῶ τῷ σώματι. τοῦτον εἴ τι γέγονε, τὴν μὲν ἀρχὴν ἀναφανῆναί γε δεῖ κατήγορον αὐτοῦ τὸ κάμνον· κἂν μὲν οὕτω σοῦ λέγοντος μὴ πείθηταί σοι, καὶ τοῦθ' ἅλις ἔχει πρός γε ἡμᾶς τοὺς ἀνθρώπους· εἰ δὲ φιλάνθρωπός τε εἴη, καὶ χαρίσαιτό σοι τὴν περὶ τούτων ἀκρόασιν, ἅπαν ἐνταῦθά ἐστι τὸ λαμπρὸν ἀπολογήσασθαι, καὶ τοὺς λογοποιοὺς καταισχῦναί τε καὶ κατασιγάσαι. τὸν γὰρ δὴ Σπάταλον τοῦτον, οὐ δεήσει τρυφᾶν· ἀλλὰ καὶ δεθήσεται καὶ κρεμήσεται, καὶ τὼ πλευρὼ διορυγήσεται. δεινοὶ γὰρ ἐξελέγξαι προσποίησιν οἱ βασιλισταί· καί τινες αὐτοῖς ἐντυχές εἰσιν ἐξευρημένοι, συλλογισμῶν ἐπιστημονικῶν ἔχοντες δύναμιν. ὥσθ' ὅ, τι ἂν ἐκείνων κρατούντων ἀναφανῇ, τοῦτ' ἔστιν αὐτὸ τἀληθές. ἂν οὕτως ἀπολυθῇς μηδὲν ἀδικῶν, ἄπει τοῦ δικαστηρίου νενικηκὼς καὶ γαῦρος, εὐαγής τε ὢν καὶ δοκῶν· εἰ δὲ ἐγὼ μὲν εἰσηγησάμην ἅπαντα σοὶ λυσιτελῆ

grediaris inquiſitionem: quærens atque inueſtigans verum. Fama vulgatus Spatalus iſte eſt. Habes virum. Vtere corpore. Si iſtud de quo accuſamur patratum eſt, iſte hodie & ſui & mei accuſator erit. Et ſi, ſic dicente te, non pareat tibi, etiam hoc ſatis eſt apud nos quidem homines. Sed ſi humanus eſt & concedat tibi his de rebus audientiam, omne hîc poteris ſplendide crimen depellere & rumorum auctores dedecorare, & ſilẽtium imperare. At ipſum Spatalum non oportebit in delitiis verſari: verùm & vincietur & ſuſpendetur, & latera eius fodientur. Vehementes enim ſunt ad cõuicendam ſimulationẽ tortores. Et quædã ab ipſis vngulæ ſunt inuentæ, ratiocinationum ſcientiam pariẽtium vim habentes. Vnde quidquid illis ſuperantibus manifeſtatum fuerit, iſtud eſt ipſum verum. Si ſic libereris omnino extra noxiam, diſcedes è iudicio victor & elatus. Et innoxius re & opinione. Quòd ſi ego quidem conſului quæ arbitror tibi vtilia,

esse, tu autem non facias, neque ad iudicem accedas; verum quidem & vidit & nouit iustitia. Omnino qui omnia peragrat oculus Dei, & Libyam videbat, & vallem illam, & tumultum illum, siue verus sit, siue postea sit fictus, & Aemylij cursum & quidquid ei accidit & à quo, & quid locutus sit, & quid audierit, si quid & dixit & audiuit, & nouit an insons sis & extra culpam, & purus Deo, neque à te patrata, neque consulta aut deliberata re nefaria. verùm apud nos homines nondum purus es, quandiu te non purgaueris, neque tecum copulabimus dextram, nec de eadem mensa vescemur. Timemus enim Aemylij diras & furias, si nos tangens imprimas scelus. Sunt etiam nobis propriæ maculæ, non oportet præterea colligere.

Alludit ad Hesiodium, de oculo Dei.

Olympio. 45.

Vexant ecclesiam exteri viri improbi. transi contra eos. Paxilli enim paxillis excutiuntur.

Ana-

οἶμαι, σὺ δὲ οὐ ποιήσῃς, οὐδὲ πρὸς τὸν δικαστὴν πρόσῃ, τὸ μὲν ἀληθὲς εἶδέ τε καὶ οἶδεν ἡ δίκη. πάντως ὁ διὰ πάντων ἥκων ὀφθαλμὸς τοῦ θεοῦ, καὶ Λιβύην ἑώρα, καὶ φάραγγα ἐκείνην, καὶ θεωροὺς ἐκείνου, εἴτε τὸν ὄντως, εἴτε τὸν ἐπιποίητον, καὶ τὸν Αἰμιλίου δρόμον· καὶ ὅ, τι πέπονθε, καὶ ὑφ' οὗ, καὶ ὅ, τι εἶπε, καὶ ὅτι ἤκουσεν· εἰ δή τι καὶ εἶπε καὶ ἤκουσε, καὶ οἶδεν, ὅτι εἰ καὶ τύχοις μὲν ἀναίτιος σὺ καὶ καθαρὸς τῷ θεῷ, μήτε πράξας, μήτε βουλεύσας ἔργον ἐξάγιστον· ἀλλὰ ἡμῖν γε τοῖς ἀνθρώποις οὔπω καθαρὸς, ἕως ἀναπολόγητος ἦς· οὐδὲ ἐμβαλοῦμέν σοι δεξιάν· οὐδὲ ἀπὸ τῆς αὐτῆς σιτησόμεθα. τοὺς Αἰμιλίου γὰρ ἀλάστορας δέδιμεν,* εἴ γε ἐνθισθιγγάνων ἡμῶν, ἐναπομόρξῃ τὴν προσέξο- γαύων τήν. εἰσὶ καὶ ἡμῖν οἰκεῖαι κηλῖδες· οὐ δεῖ καὶ γὰρ, ἀναπροσστερνίζεσθαι.

Ολυμπίῳ.

Λυποῦσι τὴν ἐκκλησίαν ἀλλότριοι πονηροί. διάβηθι κατ' αὐτῶν. οἱ πάτταλοι γὰρ παττάλοις ἐκκρούονται.

Ἀναστασίῳ.

Οὐδὲ Ἄμασις μὲν καλῶς, φυλαξάμενος ἐπιδακρῦσαι τοῦ Πολυκράτους ταῖς συμφοραῖς, ἃς ἐσομένας προῄδει· ἀλλ' οἷς εὐτυχοῦντι κήρυκα πέμψας τὴν φιλίαν ἀπείπατο, δῆλον ἐποίησεν ὅτι κἂν ἐδάκρυσεν, εἰ προὔλαβεν ἡ συμφορὰ τὴν ἀπόρρησιν. σὺ δὲ ἡμῖν, ἕως μὲν οὐ προσεκόπτομεν τῇ τύχῃ, συνέμεινας· ἔπειτα συναπῆρας αὐτῇ. λέγει γὰρ ἡ φήμη, διὰ τῶν ἀπὸ Θρᾴκης ἡκόντων, οὐδὲν οὔτε φρονεῖν σε περὶ ἡμῶν οὔτε λέγειν ἐπιεικές. τοῦτο μὲν οὖν οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν, ἀλλ' ἔχθραν ἀνειπεῖν. ἤρκει δὲ, εἴπερ ἄρα ἐδόκει, ὃ μὴ συνανιᾶσθαι, τὸ δὲ καὶ προσοδυνιάσαι, πόῤῥω δεινῶν. καὶ οὔτε Ἀμάσιδος, οὔτε ὅλως ἀνθρώπινον. ἀλλά σοι γὰρ ἴσως ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων ἔσκεπται κάλλιον. ποίει τὸ ποιητέον· μόνον εἰ χαίρων ποιεῖς. ἥμισυ γὰρ ἂν εἴη κακὸν, εἰ καὶ οἷς πάσχω κακῶς, ἡδὺς εἴην τοῖς φίλοις.

Θεοτίμῳ.

Anastasio. 46.

Nec Amasis quidem probus, qui cauit illachrymari Polycratis infortuniis, quæ futura præuidebat. Attamen quia felici caduceatore misso amicitiam renunciauit, perspicuum fecit quòd lachrymatus esset, si anteuenisset calamitas renunciationem. Tu autem quamdiu non offendebamus in fortunam, nobiscum mansisti; deinde cùm ea discessisti. Narrat enim fama per eos qui è Thracia veniunt, nihil neq; te sentire de nobis, neque dicere honestum. Istud igitur non est prorsus amicitiam renuntiare, sed inimicitiam denunciare. Satis autem erat, si forte istud faciendum fuit, te nō vnà mecum mœrore affici; addere verò etiā molestias, omne incommodum superat, neque est Amasidis, neque omnino humanum. Verùm enimuerò tibi fortasse de tuis rebus prouisum est melius. fac quòd faciendum, tantum si læsus facis. Dimidiatum enim fuerit malum, si etiam eis, quib. male afficior, incommodis, iucundus sim amicis.

Hac epistola conqueritur de Anastasio, quòd in amore nō sit constans.

Historia est apud Herodotum lib. 3.

Theotimo. 47.

Numerato etiam Petrum perniciē Pentapolis, hominem non arte molientem euersionem legum. Quamquam & illum qui ita molitur odio prosequor. Et Deus nouit & Dioscurides. Verùm Petrus iste audacior est illo viro. Quàm enim rem cupiet? primum rapiens, & in suam potestatem redigens, deinde pœnam exigit. Et si vincatur calculo iudicum, vincit manu. Ita fecit. primùm rapuit dolium: postulauit quis eum, & conuicit. Iste autem non reddidit, sed etiam præterea minatus est ministris publicis plagas. Aduersus quem ego indignatus, & ratus non esse viuendum, vbi aliqui priuati homines maiores & superiores manus habent legibus: comparaui illustrissimos viros, qui parentes sententiæ iudicis, opem ferrēt statui Reipub. Si enim processisset ei res, multos Petros breui tempore vidissemus. Qua in re gratiam habeo admirando Martyrio, & qui mecum indignatus est maximè, & qui prom-

Vis pro iure.

Θεοτίμῳ.

Ἀριθμεῖ καὶ Πέτρον ὀργὴν Πενταπόλεως, ἄνθρωπον οὐ τέχνῃ μελιόντα τὸ λύειν τοὺς νόμους. καί τοι καὶ τὸν οὕτω μελιόντα, μισῶ· καὶ ὁ θεὸς συνοίδε καὶ ὁ Διοσκουρίδης. ἀλλ' ὅσῳ ἐστὶ νεανικώτερος ἐκείνου τἀνδρός. ὅτου γὰρ ἐπιθυμήσει χρήματος, πρῶτον ἁρπάσας, καὶ ὑφ' ἑαυτὸν ποιησάμενος, ἔπειτα προστίθη τὴν δίκην· κἂν ἁλῷ τῇ ψήφῳ, κρατεῖ τῇ χειρί. οὕτως ἐποίησε· πρῶτον ἥρπασε κεράμιον· ἐγράψατό τις αὐτὸν· ὁ μὲν ἤλεγξεν· ὁ δὲ οὐκ ἀπέδωκεν, ἀλλὰ καὶ προσηπείλησε τοῖς δημίοις πληγάς· πρὸς ὃν νεμεσήσας ἐγώ, καὶ νομίσας οὐκ εἶναι βιώσιμον, ὅπου τινὲς ἰδιῶται χεῖρας ἔχουσι μείζους τῶν νόμων, παρεσκεύασα λαμπροτάτους ἄνδρας εἴξαιτίας ἀποφάσει, βοηθῆσαι τῇ καταστάσει τῆς πολιτείας. εἰ γὰρ συγχώρησεν αὐτῷ, πολλοὺς ἂν ἐντὸς ὀλίγου Πέτρους ἐθεασάμεθα· ἐν ᾧ χάριν ἔχω τῷ θαυμαστῷ Μαρτυρίῳ, καὶ συνηγορηκότι μάλιστα, καὶ προθυ-

μάλιστα πάντων ὑπηρετήσειν· αἴθ' ὧν ἀγαθὸν αὐτῷ τι γένοιτο παρὰ τοῦ θεοῦ. παρὰ δὲ Ανθεμίου καλῶς ἂν ἔχοι τὸ μὴ κακόν τι λαβεῖν, εἰ Πέτρος αὐτὸν, ὥσπερ ἠπείλησεν, ἀπαιτήσειεν· ἀλλ' ἵνα μὴ γένηται τοῦτο, δέομαι πάνυ, δέομαι, σοῦ τε αὐτοῦ, καὶ διὰ σοῦ τοῦ θαυμασίου ἀνδρὸς καὶ φιλοσόφου Τρωΐλου, κωλύσατε τὸν ἀλητήριον ἄνθρωπον τὴν διὰ τῶν νόμων ἐπὶ τοὺς νόμους ἐλθεῖν. ἐμοὶ καὶ Πενταπόλεως μέλει, καὶ τοῦ μὴ γεγονέναι φίλῳ συμφορᾶς αἴτιον. ὃ δὲ πῶς ἂν συκοφάντης ἀνακοπείη, οὐκ ἐμὸν εὑρεῖν, ἀλλὰ σὸν, ὦ πρὸς τὰ καλὰ πάντων σὺ προθυμότατε.

Πυλαιμένει.

Καλῶς ποιεῖς εἰς τὴν ἔχουσαν τὸν βασιλέα πόλιν ἐπανελθών. εἰ γὰρ καὶ τοῖς Ισαύρων ὄρεσιν ἡ ἀγαθή σοι τύχη συνῆν· ἀλλ' ἔστιν εὐτυχία παρὰ τὸν τόπον ἀτυχεστέρα. ἐμοὶ δέ τι καὶ ἰδίᾳ διαφέρει, τὸ πρὸς αὐτά σε παρεῖναι τὰ βασίλεια, οὗ διατρίβων, καὶ λήψη καὶ πέμψεις ἐπιστο-

ptissimè omnium operã nauauit. Pro quibus rebus, vtinam boni aliquid eueniat ei à Deo. Ab Anthemio autem rectum fuerit mali nihil accipere, si Petrus ab ipso quemadmodum minitatus est, repetat. Verùm ne hoc fiat, rogo etiam atq; etiam, rogo teipsum, & per te admirabilem virum philosophum Troilum, prohibete sceleratum hominem legum via in leges grassari. Mihi de Pentapoli cura est, & ne quid mali à Petro accipiat amicus. Cæterum quo pacto calumniator repellatur, nõ est meum inuenire, sed tuum, ô omnium ingeniosissime & solertissime ad res honestas.

Pylæmeni. 48.

Rectè fecisti, quòd reuersus sis in vrbem Imperatorem habentem. licet enim in Isaurorum montibus tibi fuisset fortuna contubernalis: Attamen est secunda fortuna propter locum infelicior: meâ autem priuatim aliquid refert, te felicem & beatum esse apud ipsam regiam, vbi commorans, & accipies à me, & mittes epistolas,

Epist. pretiū. preciosissimum mihi mercimoniorum, quæ è Thracia aduehuntur.

Theotimo. 49.

Plura cómmoda ex Simonidis familiaritate Hieron percepit, quàm Simonides ex Hierone. Et per geniū amicitiæ meúmque & tuum, neque te magis felicem existimaui, ob amicitiam magni Anthemij; quàm ob tuā illum ipsum Anthemium. Homini enim potenti ecqua res pulchrior & honestior, quàm amicus mores incorruptos præ se ferens. qualē ego Theotimum esse scio lenissimum & Deo charum caput. Verùm hoc quidem tu vltra Simonidem facis. Ipse enim Simonides cōfitebatur, se loqui mercede. Illud autem tibi cum illo commune, quòd & Simonides Hieronem commendauit posteritati temporis: & per Theotimi poësim, donec Græci erunt, celebris erit Anthemius in sermonum congressionibus. Verùm Romanorū res ille augeat: tu autem illius nomen. Arti enim poëticę Deus dedit conseruare gloriam hominum, cuius decus penes te est.

λάς, τὸ τιμαλφέςατον ἐμοὶ τὴν ἀπὸ Θρά-
κης ἀγωγίμων.

Θεοτίμῳ.

Πλέω καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν, ἢ Σιμωνίδης Ἱέρωνος, καὶ ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, οὔτε σὲ πλέον ἐμακάρισα τῆς Ἀνθεμίου τοῦ μεγάλου φιλίας, ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν μέγαν Ἀνθέμιον. ἀνδρὶ γὰρ ἔχοντι δύναμιν τί κτῆμα κάλλιον, ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος· οἷον ἐγὼ Θεότιμον οἶδα τὴν πραοτάτην καὶ θεοφιλῆ κεφαλήν. ἀλλὰ τοῦτο μὲν σὺ, Σιμωνίδου πλέον ποιεῖς. Σιμωνίδης γὰρ αὐτὸς ὡμολόγει πρὸς ἀργύριον διαλέγεσθαι. ἐκεῖνο δὲ κοινόν, ὅτι καὶ Σιμωνίδης Ἱέρωνα τῇ διαδοχῇ τοῦ χρόνου συνέςησε, καὶ διὰ τῆς * Θεοτίμου ποιήσεως, ἔστ' ἂν Ἕλληνες ὦσι, πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων διατριβαῖς. ἀλλὰ τὰ μὲν Ῥωμαίων ἐκεῖνος αὔξοι· σὺ δὲ ἐκείνου τὸ ὄνομα· ποιητικῆ γὰρ ἔδωκεν ὁ θεὸς * ταμιεύειν τὴν εὔκλειαν, ἧς τὸ καλὸν εἰς σὲ περιήκει.

γρ. ταῖς Θεοτίμου ποιήσεσι,
Γρ. ἀποταμιεύειν

Τῷ ἀδελφῷ.

Ἀπέκτονε, φησί τις, Ἰωάννης Αἰμίλιον·
ἕτερος δέ τις, τοὺς πολιτευομένους ἐπ' αὐ-
τῷ ταῦτα συμπλάσαι. τὸ μὲν οὖν ἀλη-
θὲς οἶδεν ἡ δίκη, καὶ ὁ χρόνος εὑρήσει· ἐγὼ
δὲ καὶ τοῦ ἀδήλου τοῦ πράγματος ὄν-
τος, οἶμαι δεῖν ἀπόντας ἐξῆς ἀποσκοπιάζε-
γρ. πε- σθαι, τὸν μὲν, ὅτι τοιοῦτός ἐστιν, ὡς, εἰ καὶ μὴ*
ποίηκεν, πεποίηκεν, ἀλλ' ἐποίησεν ἄν· καὶ τοῖς ἑαυτοῦ
ἐποίησ. τρόποις πρέπουσαν αἰτίαν ἐδέξατο· τοὺς δὲ
καὶ μὴ πλάσαντας, ὅτι συνέπλασαν ἄν·
καὶ πρὸς αὐτοὺς τὸ ἐγχείρημα, ὡς ἔστιν ἦθος
ἀνοίκειον συκοφαντίᾳ τινί. κἂν εἰ συνωμόται
πολλοὶ μαρτυρῶσιν, οὐδὲν αὐτοῖς ἔσται πλέον
εἰς πίστιν· οἷον εἴ τις ἑταιρήσεως διώκοι τὸν
Αἴαντα, γέλως ἂν εἴη πλατύς· ὁ δὲ Ἀλέ-
ξανδρος, εἰ μὴ θῆλυς, ἀλλὰ θηλυδρίας γε
ὤν, καὶ τὴν αἰτίαν ἐχάρη. τὸν Σίσυφον δὲ καὶ
τὸν Ὀδυσσέα μισῶ. καὶ γὰρ εἴ τι καὶ λέ-
γοιεν ἀληθὲς, ἀλλὰ τοιοῦτοί γε ἦσαν, οἷοι
γρ. τὰ τὰ * πλείω ψεύδεσθαι. ἐγὼ δὲ οἷς ἀτυχῶ,
πλεῖστα λίαν εὐτυχῶ, πολιτῶν τοιούτων ἐχθρὸν καὶ

Fratri. 50.

Interfecit,dicit quiſpiam,Ioannes Aemylium: Alter autem quiſpiã eos, qui in Reipub. adminiſtratione verſantur,inimicos iſta contra ipſum cõfinxiſſe. at verum ſcit iuſtitia, & tempus reperiet. Ego verò, quamuis obſcura ſit res & incerta,arbitror oportere omnes pariter auerſari illum, quòd ita moratus ſit, vt quamuis non fecerit,facturus fuerit: & receperit crimẽ moribus ſuis conueniens: iſtos autem quòd etiamſi non finxerint,finxiſſent tamen. Et illud incœptum ab illis,vt mores ſunt,à quadam ſuſpicione alienum non eſt. Etſi coniurati multi teſtentur, nihilo magis ipſis proderit ad fidem: quemadmodum ſi quis impudicitiæ accuſaret Aiacem, riſus magnus fuerit: Alexander autem,ſi non fœmina,at certè effœminatus erat, & id crimen capiebat.Siſyphum autem & Vlyſſem odio habeo,nam & ſi quid veri dicerent, at certè tales erant qui plura mentiebantur: Ego verò eo ipſo quod infelix ſum, valde ſum beatus, ciuibus talibus inimicis &

amicis carens. Res eorum omnes à me disiūctæ sint. Nihil mihi cùm vllo eorum. Peregrinus inter peregrinos viuam. Mores nos ante locum separauerunt. Cæterum lamentor insigne solum Cyrenes, quod olim quidem tenebant Carneades & Aristippi: nūc autem Ioannes & Iulij, cùm quibus non commodè versatus, commodè peregrinor. Tu autem ne scribas posthac mihi ex illa vrbe de vlla re quidquam: ne commendes eos qui lites habēt: non enim impertiam me posthac horum vlli. Infelicissimus sanè essem, si bonis quidem charissimæ patriæ carerem, particips autem essem contentionum & negotiorum me retrahentium à tranquillitate & otio philosophico: & qui paupertatem ex negotij prætermissione tanquam lucrum secutus sum, aliena mala gratis persequar.

Eidem. 51.

Promontorium prouinciæ Cyrenaicæ.

Profecti è Phyconte incipiente diluculo, vesperi ad sinum qui ad Ery-

φίλων στερούμενος. Διατετειχίσθω μοι τὰ πρὸς ἀπόντας. οὐδὲν ἐμοὶ πρὸς ἐκείνων οὐδένα. ξένος ἐν ξένοις βιῶ. ὁ Ἔρως ἡμᾶς περὶ τοῦ τόπου διῴκισεν. ὀδύρομαι δὲ τὸ κλεινὸν ἔδαφος τῆς Κυρήνης, ὃ πάλαι μὲν εἶχον Καρνεάδαι τε καὶ Ἀρίστιπποι· νῦν δὲ Ἰωάνναι καὶ Ἰούλιοι, μεθ' ὧν οὐκ ἀκαίρως γενόμενος, ἀκαίρως ἀποδημῶ. σὺ δὲ ἀλλὰ μηδὲ γράφῃ ἔτι μοι περὶ τῶν ἐκεῖθεν πραγμάτων τινός· μηδὲ συνιστάναι τοὺς ἔχοντας δίκας. οὐ γὰρ ἂν ἐπιδιδοίην ἐμαυτὸν ἔτι τούτων τινί. ἀτυχέστατος * μὲν τ' ἂν Γρ. ἀτυ- εἴην, εἰ τῶν μὲν ἀγαθῶν τῆς φιλτάτης πα- χέστερος τρίδος στεροίμην, μετέχοιμι δὲ ἀπηλογιῶν καὶ πραγμάτων, ἀφελκόντων με τῆς ἐν φιλοσοφίᾳ ῥαστώνης * : καὶ πενίαν ἐξ ἀ- Γρ. μερί- πραξίας ὡς κέρδος ἑλόμενος, τἀλλότρια μνης· καὶ κακὰ προῖκα περιεργάσομαι. πεν.

Τῷ αὐτῷ.

Ἀέριτες ἐκ Φυκοῦντος ἐρχομένης ἑῴας, δείλης ὀψίας τῆς κατ' Ἐρυ-

γρ. ἐρυ- θρᾷ * κόλπῳ προσεσχόμεθα. ἐνδιατρί-
θρᾶς ψαντες δὲ, ὅσον ὕδωρ πιεῖν καὶ ὑδρεύσα-
γρ. τῆς σθαι· πηγαὶ δὲ ἐπ' αὐτῇ ἐκδιδόασι * τὴν
ἠιόνος ἠόνα καθαροῦ καὶ ἡδίστου νάματος· ἐπι-
σπευδόντων τῶν Καρπαθίων, αὖθις ἀνήχθη-
μεν. πνεύματι δὲ χρησάμενοι μετρίῳ μὲν,
ἀλλ' ἐκ πρύμνης ἀεὶ, καὶ μέγα οὐδὲν
ἐφ' ἑκάστης ἡμέρας ἀνύειν ἐλπίσαντες, ἐ-
λάθομεν ἐξανυκότες ὅσον ἔδει. καὶ πεμπταῖοι
τότε φρυκτὸν ἰδόντες, ὃν αἴρουσιν ἀπὸ πύρ-
γου τοῖς καταγομένοις σύνθημα, θᾶττον ἢ
λόγος ἀποβιβασθέντες ἦμεν ἐν τῇ νήσῳ τῇ
Φάρῳ. λυπρὰ δὲ ἡ νῆσος, ἐν ᾗ μήτε δά-
γρ. αὐτο- σος ἐστὶν αὐτοφυὲς *, μήτε καρπὸς, ἀλλ' ἅ-
φυὴς, λές τινές.

Τοῦ αὐτοῦ.

Ἥκειν τις Ἀθήνηθεν λέγεται κρηπιδοπώλης ἀδελφός, παρ' οὗ μοι δοκεῖς καὶ πέρυσιν ἐωνῆσθαι τὰς ἀναπτήτους ἐμβάδας· νῦν δέ φασιν αὐτὸν ἐπὶ μείζονι ἐμπορεύεσθαι, κομίζοντα στολὰς Ἀττικουργεῖς· σοί τε θερίστρια πρέποντα καὶ ἡμῖν ἀναβολὰς εἰς

thram,est applicuimus: Morati autē, quoad aquam bibissemus & aquati essemus: fontes autem in ipsum exeūt littus, puri & iucundissimi laticis. Vrgentibus Carpathiis rursum prouecti sumus. flatu autem vsi leni & mediocri, verùm è puppi semper, & nō multum vnoquoque die itineris conficere rati, non sensimus nos tantum itineris emensos, quantum oportebat. Et quinto die faculam cernentes, quā tollunt è turri applicantibus signum, citiùs dicto expositi eramus in insula Pharo. sterilis autem insula, in qua neque stirps est sponte nata, neque fructus, verùm salis aliquantum.

Eidem. 52.

Venisse quidam Athenis dicitur crepidarum venditor vir, à quo mihi videris anno superiore emisse pertusos illos soccos. Nunc autem prędicāt eū negotiatorem maiorē esse, afferentem vestes Attici operis; tibiq; æstiuas vestes aptas, & nobis pallia ad

tempus anni. Prius quàm igitur omnia vendiderit, aut ea, quæ ſunt elegantioris operis (qui enim priores accedunt, non ſequentibus, ſed ſibi ipſis ſcilicet cupiunt conſulere) ad te vocato peregrinum illum, & emito mihi tria aut quattuor pallia. Omnino quidquid numeraueris pro pretio, apud me tibi magno cum fœnore poſitum erit.

Eidem. 53.

Prolixitas epiſtolæ alienum eſſe eũ ſignificat qui epiſtolam perfert. Sed eximius & admirandus Acatius omnium mearum rerum cõſcius eſt, narrabit & plura quam nouit, & quia te amat, & linguam habeat ſuperiorem rebus: Proinde hanc epiſtolam conſuetudini te ſalutandi magis, quàm vſui & vtilitati tribuo. Cæterum narrare de filio tuo Dioſcurio, tum quidẽ quòd valeat, tũ quòd legit & adhæret libris, hoc ſit ipſius epiſtolæ caput. Nos autem conſuetum ordinem fratrum

præ-

τὴν ὥραν τοῦ ἔτους. πρὶν ἂν δύω ἀπάσας φθάσῃς ἀποδήμους, ἢ τὰς τῆς καλλίονος ἐργασίας· οἱ γὰρ προσεντυγχάνοντες, οὐχ ὑπὲρ τὴν κατόπιν, ἀλλ' ὑπὲρ ἑαυτὴν δήπουθεν ἀξιοῦσι βουλεύεσθαι· εἰσκάλει τοι τὸν ξένον, καὶ πρίω μοι τρεῖς ἢ τέτταρας τὴν ἀναβολήν. πάντως ὅ,τι ἂν ὑπὲρ τῆς τιμῆς καταθῇ, παρ' ἐμοί σοι πολλαπλάσιον κείσεται.

Τῷ αὐτῷ.

Μῆκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ' ὁ θαυμαστὸς Ἀκάκιος, οἶδε μὲν ὅσα κἀγώ, ἐρεῖ δὲ καὶ ὧν οἶδε πλείονα, τοῦ τε σὸς ἐραστὴς εἶναι, καὶ τῷ τὴν γλῶτταν ἔχειν νικῶσαν τὰ πράγματα· ὥστε τὴν ἐπιστολὴν τῷ νόμῳ τοῦ προσήκειν σε πλέον, ἢ τῇ χρείᾳ χαρίζομαι· ὃ δ' ἀπαγγεῖλαί σοι περὶ τοῦ υἱοῦ Διοσκουρίου*, τοῦτο μὲν ὡς ὑγιαίνει, τοῦτο δ' ὡς ἀναγινώσκει, καὶ πρόσκειται τοῖς βιβλίοις, τοῦτο τῆς ἐπιστολῆς αὐτοῦ ὑπαρχέτω τιμή. ἡμεῖς δὲ αὐτῷ συμμορίαν ἀδελφοῖς

γρ. Διοσκορίου,

παρεχόμεθα, προσθέντες Ἡσυχίῳ ζεῦγος ἀδελφῶν ἀρρένων, οὓς εὐτυχεῖς ποιήσειεν ὁ θεὸς, αὐτοῖς τε καὶ ἀδελφοῖς, καὶ γονέων οἴκῳ, καὶ λοιπῷ γένει, καὶ ταῖς πατρίοις πόλεσι.

Τῷ αὐτῷ.

Συχνοὶ παρ' ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τινας ὀνείρους, οὓς αὐτοὶ καλοῦσιν ἀποκαλύψεις, ἐοίκασιν ὑπέρ μοι δώσειν κακὸν, ἂν μὴ τάχιστα τὰς ἱερὰς Ἀθήνας καταλαβεῖν μοι γένηται. ὁσάκις ἂν οὖν ἐντυχεῖν σοι γένοιτο ναυκλήρῳ Πειραϊκῷ, γράφε πρὸς ἡμᾶς. ἐκεῖσε γὰρ ἐντευξόμεθα ταῖς ἐπιστολαῖς. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τῆς ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι κακῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις προσκυνεῖν, οἳ μηδὲν ἡμῶν τῶν θνητῶν διαφέρουσιν· οὔκουν εἰς σύνεσιν γε τῶν Ἀριστοτέλους καὶ Πλάτωνος. ἀναστρέφονται δὲ ἐν ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι, διότι τεθέανται τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον,

καὶ τὴν

præbuimus, addentes Hesychio par fratrum masculorum; quos felices reddat Deus, & sibi & fratribus reliquis, parentum domui, & reliquo generi, & patriis vrbibus.

Eidem. 54.

Multi apud nos & priuati & sacerdotes, fingentes quædam somnia quæ ipsi appellant reuelationes videntur reuera mihi daturi malum, nisi celerrimè sacras Athenas petere mihi eueniat. Quotiescumque igitur inuenire tibi contigerit nauiculatorem ex Pireæo Atheniensium portu, scribe ad nos. Illic enim inueniemus epistolas tuas. Hoc autem boni consequar non tantum ex illa Athenas profectione, quòd liberatus ero præsentib. malis. Verum etiam ne amplius adorem eos ob eloquentiam, qui illinc veniunt, qui nihil nobis mortalibus antecellunt, non sanè ad intelligentiam librorum Aristotelis & Platonis. Et tamen versantur inter nos, tamquam inter semiasinos*, semidei: propterea quod viderunt Academiã & Lycéũ,

* Muli semiasini, Pind.

&Pœcilam in qua Zeno philoſophabatur, quæ nunc non eſt Pœcila. Nam Proconſul tabulas quę pictæ erant ſuſtulit. Deinde prohibuit eos ob doctrinam maiores animos tollere.

Eidem. 55.

Eſt promontoriũ in Cyrenaïca prouincia, de quo vide Pomp. Mel.

* *pro te ventos precatus, vt proſperi atque ſecundi flaret.*

Vẽti formoſos amant.

Soluiſti rudentem: atq; ego mulas ſtatui ad Zephyrium littus. Cùm autem deſcenderem è rheda, iam tibi velum erat ſublatum, & in puppi erat ventus. Attamen vos oculis, quoad contẽdere poterant, proſecutus ſum, & multa cum ventis * pro chara & amata anima diſſerui: commendans illis nauim, quia mihi pretioſiſſimum onus cõmiſſum habebàt. Ipſi autem, non enim ſunt non amantes formoſorum, promiſerunt mihi tuum commeatum & reuerſionem. Iſti igitur cùm ſint boni genij numquam mentientur. Tu autem quemadmodum eos rogaſti, hinc illuc tranſmittens, precare iſtinc huc. Multo enim libentiores tibi præſto fuerint.

καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει Ποικίλην, νῦν οὐκέτ' οὖσαν Ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ὑφείλετο*. ἔπειτα ἐκώλυσεν αὖθις ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

γρ. ἀφείλετο καὶ μέγα οὗ.

Τῷ αὐτῷ.

Ἔλυσας τὸ πρυμνήσιον· κἀγὼ τὰς ἡμιόνους ἔστησα παρὰ τὴν Ζεφυρίτιν ἠϊόνα. τῆς ἀπήνης δὲ ἀποβαίνοντος, ἤδη σοὶ τὸ ἱστίον ἦρτο, καὶ κατὰ πρύμναν ὁ ἄνεμος. ἀλλὰ τοῖς τε ὀφθαλμοῖς ὑμᾶς ἐφ' ὅσον ἐξικνεῖτο προὔπεμψα, καὶ πολλὰ τοῖς ἀνέμοις ὑπὲρ τῆς ἐρωμένης ψυχῆς διείλεγμαι· συνιστὰς αὖθις τὸ σκάφος, ὅτι μοι τὸ τιμαλφέστατον φορτίον πεπίστευτο· οἱ δὲ, οὐ γάρ εἰσιν ἀνέραστοι τῶν καλῶν, ὑπέσχοντό μοι τὴν σὴν κομιδήν τε καὶ ἀνακομιδήν. οὗτοι μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες, οὐκ ἄν ποτε ψεύσαιντο· σὺ δὲ ὥσπερ αὐτῶν ἐδεήθης, ἐντεῦθεν ἐκεῖσε πορθμεύων, δεήθητι κἀκεῖθεν ἐνθάδε. πολὺ γὰρ ἂν ἥδιους τότε σοὶ παραγγύοιντο.

Τῷ αὐτῷ.

Ἀδικεῖς με, ὦ θεία καὶ ἱερὰ κεφαλή, ψυχὴν ἁπλῆν, καὶ ὑπὸ συνηθείας ἁλώσιμον, ἐνσείσας μὲν εἰς τὸ διαφερόντως ἀγαπᾶν σέ τε καὶ τὴν ἀδελφιδῆν, ἀφελόμενος δὲ σαυτοῦ τε καὶ τῆς ἀδελφιδῆς. ἐκείνην μὲν οὖν ἔχων, διπλῆν ἐθεώμην εἰκόνα· καὶ πρῴην μοι διὰ τῆς νεάνιδος ὁ θεῖος αὐτῆς· νῦν δὲ ἅπαντα τὰ φίλα φροῦδα· καὶ μέμφομαι τῇ φύσει, διὰ τὴν ἀμετρίαν τῆς εἰς τὸ ἀδικεῖσθαι ῥοπῆς· καὶ εἴ τι φιλοσοφίας ὄφελος, εἰς ἀρρενωπότερον ἀνακτήσομαι, καὶ τοῦ λοιποῦ σφενδαμνίνῳ μοι καὶ ἀκλινεστέρῳ συνέσεσθε.

Κατὰ Ἀνδρονίκου.

Αἱ κακοποιοὶ δυνάμεις ἐν κόσμῳ, συντελοῦσι μὲν τῇ χρείᾳ τῆς προνοίας· κολάζουσι γὰρ τοὺς ἀξίους κολάζεσθαι· εἰσὶ δὲ ὅμως θεομισεῖς τε καὶ ἀποτρόπαιοι. Ἐγερῶ γὰρ, φησὶν, ἔθνος ἐφ' ὑμᾶς, ἀφ' οὗ πείσεσθε τόσα καὶ τόσα. καὶ τελευτῶν, αὐτοῖς ἐκείνοις, οἷς ἐπιστρατεύει, φησὶν ἐπεξελεύσεσθαι,

Eidem. 56.

Iniuriam mihi infers, ô diuinum & sacrum caput, qui animosũ simplici & facilè decipior familiaritate; qui quidem induxeris eximiè ad diligẽdum te & sororis filiam, ademeris autem mihi te & sororis filiam. Ac sanè illam habẽs, duplicem intuebar imaginem. Et aderat mihi per adolescentulam auunculus illius. Nunc autem omnia quæ mihi chara erant, nusquam comparent. Et accuso naturam meam ob immoderationem propẽsionis ad iniuriam accipiendam: & si qua philosophiæ vtilitas, in viriliorem indolem reparabo; & posthac cum acerno & duro & rigidiore versabimini.

Contra Andronicum. 57.

Maleficæ potestates in mundo conferunt vsui prouidentiæ. Puniunt enim illos qui digni sunt supplicio. Sunt tamen Deo inuisæ & abominandæ. Suscitabo enim, ait, gentem cõtra vos, à qua patiemini tãta & tãta. Ac demum, ilios ipsos per quos bellũ (Iudæis) infert ait se persecuturum;

Pestiferæ & exitiales facultates, diuinæ prouidentiæ vsui & vtilitati sunt.

Amos 6.

propterea quòd cùm vos haberent in potestate sua, non fuerunt misericordes, nec se vobis humanos & clementes præstiterunt. Ipsas enim non perdidici sacras litteras: verumtamen affirmo, quòd quodam in loco bibliorum Deus ista loquens inducitur: nec dixit quidem sic, nō tamen fecit. Sed Babylonius rex Ierusalem vrbē euertit, gentem autem captiuitate oppressit: rex autem ipse non multo post insaniebat. Et cœpit iustitia Dei adeo euastare ac desolare Babylonem ciuitatem, vt an fuerit illo in loco vrbs nō crederetur. Vtrum audebimus interrogare Deum? Quamobrem tu suscitas viros qui tui vltores sunt in eos qui peccauerunt: posteaquam autem obsecuti sunt diuinæ voluntati, & fuerunt carnifices horum, contra quos mittuntur, cùm oporteat persoluere gratiam operæ, tū sanè maximè etiam puniuntur? Sed nónne nos impulit ad responsionem eorum quæ ex eo interrogamus? Quoniam enim violata hic diuina lege, exorta sunt in homines mala: Quæ autem malefica sunt, eximiè sunt mala: propter abundan-

ὅτι παραλαβόντες ὑμᾶς οὐκ ἠλέησαν, οὐ-
δὲ ἀνθρωπίνως ἐχρήσαντο. αὐτὰς μὲν * γρ. μὲν
γὰρ οὐκ ἐξεμελέτησαν τὰς ἱερὰς συλλαβάς· οἴω
διισχυρίζομαι δέ, ὡς ἔστιν οὗ τῶν βιβλίων ὁ
θεὸς ταῦτα λέγων πεποίηται. καὶ οὐκ εἶπε
μὲν οὕτως, οὐκ ἐποίησε δέ· ἀλλὰ Βαβυ-
λώνιος βασιλεὺς, Ἱερουσαλὴμ μὲν τὴν
πόλιν κατέσκαψε, τὸ δὲ ἔθνος ἀνδραποδί-
σατο. ὁ δὲ αὐτὸς ἐστὶν οὐκ εἰς μακρὰν ἐμε-
μήνει· καὶ γέγονε δίκη θεοῦ ἐξερημωθῆναι
τὴν πόλιν, ὡς εἰ καὶ γέγονεν ἐν τῷ τόπῳ
πόλις, ἀπιστηθῆναι. ἆρα τολμητέον ἐρεῖν
θεόν; διὰ τί σὺ μὲν ἀνίστης ἄνδρας ἐπὶ τοὺς
ἡμαρτηκότας οἱ τιμωροῖς· ὅταν δὲ ὑπηρε-
τήσωσι τῷ θείῳ βουλήματι, καὶ γίνωνται δή-
μιοι τούτοις, ἐφ' οἷς κατεπέμποντο, δέον ἐκ-
τίσαι χάριν τῆς λειτουργίας, τότε δὴ μά-
λιστα καὶ κολάζονται. ἀλλ' ἣ κεκίνηκεν ἡμᾶς
εἰς ἀπόκρισιν ὧν αὐτοῦ πυνθανόμεθα; ἐπεὶ
γὰρ βεβλαμμένος τῆδε τοῦ θείου νόμου, πα-
ρῆλθεν εἰς ἀνθρώπους κακά· τὰ δὲ κακο-
ποιά, διαφερόντως κακά. προαιρεσία γὰρ

φύσεως, καὶ δραστήρια γίνονται. ἐπεὶ δ' οὖν
γρ. τὸ γὰρ ἅπαξ γέγονε τὰ κακὰ, τῆς * θείας σοφίας καὶ
θ. προ- ἀρετῆς καὶ δυνάμεως ἔργον ἐστὶν, οὐ μό-
νοίας κ. νον τὸ ἀγαθοποιεῖν· φύσις γὰρ ὡς εἰπεῖν αὕτη
θείας καὶ θεοῦ, ὡς τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ τοῦ φω-
ἀρρήτου τὸς τὸ φωτίζειν· ἀλλὰ κἀκεῖνο μάλιστα, τὸ
φύσεως διὰ κακῶν ἐπινοηθέντων πρός τινων, ἀ-
ἐ. γαθόν τι καὶ χρηστὸν τέλος ἀποτελεῖν, καὶ
ὠφελίμως τοῖς δοκοῦσι φαύλοις χρῆσθαι. καὶ
γὰρ σοφίας ἐστὶν εὐμηχάνου, καὶ τοῖς κακοῖς ἐν
δέοντι χρήσασθαι. ὅταν οὖν δεῖται κολαστῶν,
χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων δαί-
μοσι· νῦν δὲ ὧν ἔργα λοιμοί· καὶ νῦν μὲν
ἔθνει βαρβάρων, νῦν δὲ ἄρχοντι πονη-
ρῷ, καὶ καθάπαξ εἰπεῖν, ταῖς ἐπιτηδείοις
γρ. δημο- εἰς τὸ ποιῆσαι κακὰ, δημοσίαις * φύσεσι.
σίᾳ φύ- μισεῖ δ' ὅμως αὐτὰς, ὅτι πρὸς τοῦτο γεγό-
σει. νασιν ἐπιτήδειοι. οὐ γὰρ ἐποίησεν ὁ θεὸς ὄργα-
να συμφορῶν, ἀλλ' ὑφ' ἑαυτῶν εἰς τοῦτο πα-
ρελθοῦσιν ἑτοίμας ἐχρήσατο· καὶ διότι πρὸς
τοῦτο οὐ γέγονας χρήσιμος. αὐτὸ τοῦτό ἐ-
στιν, ὃ καὶ παντάπασιν ἀποκόπτει θεοῦ.

tiam enim naturæ, etiã efficacia sunt. Quandoquidem igitur semel extiterunt mala, diuinæ sapientiæ atq; virtutis & potestatis munus est, non modo benefacere (natura enim, vt paucis complectar, hæc ipsa Dei, quemadmodum ignis calefacere, & luminis illuminare) sed etiã maximè per mala excogitata à quibusdam, bonum aliquem finem & vtilem efficere: & vtiliter his quæ videntur improba vti. Nam & prudentiæ est solertis etiam malis commodè vti. Quando igitur eget punitoribus, vtitur nunc quidem geniis ductoribus gregis locustarum; nunc autem quorũ opera pestes, nunc quidem gente barbarorum, nunc autẽ improbo magistratu; & vt vno verbo dicam, aptis ad inferenda mala publica naturis. Attamẽ odit ipsas, quòd ad id sunt accõmodatæ. Non enim fecit Deus instrumenta calamitatum, verùm his, qui seipsos destinauerant ad hoc, in promptu vsus est. Et quia ad id fuisti accõmodatus, hoc ipsum est, quod te prorsus à Deo separat.

Sic & vas quoddam ignominiosum, aliud pretiosum est & putatur. Existimatur enim vtrumque ex vsu quem præstat. mensa quidem sacra res est, per quam Deus honoratur præses amicitiæ & hospitij. Et Abraham hospitalitas, Dei reddidit conuiuatorem. Scutica autem res quædam auersanda est. ministra enim est iracũdiæ: atque aliquis iam vsus ea, pœnitentia ductus est. De his tamen qui puniuntur, Deus sollicitus est: nec enim istud paruum est, dignum esse habitum animaduersione Dei, & purgata esse per pœnam peccata. Naturæ tamen vltrices, modis omnibus auersæ sunt à Deo. Quòd enim interimit, conditori nimirum inimicum. Nec enim ita affectus est animo vindex, aut genius aut homo, tanquam munus aliquod conferens Deo: verùm prauitati naturæ suæ indulgens, communes calamitates exequitur. Non igitur quandoquidem miseram esse oportebat ciuitatem; tu autem istud perpetrasti: idcirco te oportet effugere suppliciũ. Hac enim defensione

οὕτω καὶ σκεῦος τὸ μὲν ἄτιμον, τὸ δὲ τίμιόν ἐστι τὲ καὶ νομίζεται. κρίνεται γὰρ ἑκάτερον πρὸς ἣν τινα χρείαν παρέχεται· τράπεζα μὲν, ἱερὸν χρῆμα, δι' ἧς ὁ θεὸς τιμᾶται φίλιός τε καὶ ξένιος· καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία, θεοῦ πεποίηκεν ἑστιάτορα. μάστιξ δὲ ἀποτρόπαιον· θυμῷ γὰρ ὑπηρετεῖται· καί τις ἤδη χρησάμενος αὐτῇ, μετενόησε. τῶν μὲν τοι κολαζομένων ὁ θεὸς κήδεται· οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρὸν, ἐπισκοπῆς ἀξιωθῆναι θεοῦ, καὶ καθήρασθαι διὰ δίκης τὰ ἁμαρτήματα. αἱ δὲ τιμωροὶ φύσεις, αἱ παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ. τὸ γὰρ ἀφανιστικὸν, τοῦ δημιουργοῦ δήπου πολέμιον. οὐ γὰρ οὐδὲ διέχει) τὴν γνώμην ὁ τιμωρὸς, ἢ δαίμων, ἢ ἄνθρωπος, ὡς λειτουργίαν τινὰ ταύτην
εἰσφέρων* θεῷ· ἀλλὰ τῇ μοχθηρίᾳ τῆς γρ. εἰσ-
φύσεως χαριζόμενος ταῖς κοιναῖς συμ- φέρειν θ.
φοραῖς ἐπεξέρχεται. οὐ τοίνυν ἐπειδὴ δυστυχεῖν ἔδει τὴν πόλιν, σὺ δὲ τοῦτ' εἰργάσω, παρὰ τοῦτό σε δεῖ διαδρᾶναι τὴν δίκην· ταύτην γὰρ δὴ τὴν ἀπολογίαν

καὶ Ἰούδας ἀπελογήσατο. ἔδει γὰρ ὑπὲρ
γρ. ἀμαρ- τῆς ἀπολύτου σωτηρίας * σταυρωθῆναι Χρι-
τίας στόν· ἀλλ' ἔδει μὲν φησιν. οὐαὶ δὲ, δι' οὗ
γένηται, καὶ καλὸν ἦν τῷ ἀνθρώπῳ εἰ μὴ
ἐγένετο. οὐκοῦν τὸ μὲν ὁρώμενον, αἰσχίστην
τὴν προδοσίαν αὐτοῦ διεδέξατο· τὸ δὲ
οὐχ ὁρώμενον, οὐδ' ἂν ἐπινοήσειέ τις. οὐ
γὰρ ἔστιν ἐπίνοιαν ἀνθρώπου χωρῆσαι, τί-
να γένοιτ' ἂν τῷ Χριστοῦ προδότῃ τὰ κο-
λαστήρια. τὸ γὰρ ἢ δεῖ γενέσθαι ὑπηρετῆ-
σαι τῷ χρεὼν, οὐκ ἀστείας ἀπολογίας ἐ-
στί. δεῖ τοίνυν ὅσον οὐδέπω καὶ Αὐσουριανοὺς καὶ
Ἀνδρόνικον, ὑπὲρ ὧν εἰς ἡμᾶς εἰργάσαντο,
δίκην ἀξίαν κομίσασθαι. ὡς γὰρ τὴν ἀκρίδα
τὴν λυμηναμένην ἡμῶν τοὺς καρποὺς, καὶ μέχρι
μὲν καλάμης τὸ λήϊον, μέχρι δὲ φλοιοῦ τὰ
φυτὰ δαπανήσασαν, καταποντιστὴς ἄνεμος
ἄρας ὦσεν εἰς μέσον τὸ πέλαγος. ταύτῃ μὲν
οὖν τῇ πληγῇ τὸν νότον ἀντέταξεν ὁ θεός·
καὶ ἐπ' Αὐσουριανοὺς ἤδη τις ἤρηται παρ'
αὐτοῦ στρατηγός· ὡς εἴγε τοῦτον ἡμῶν εἶ-
ναι τῶν παρ' αὐτοῦ πώποτε στρατηγῶν

etiam Iudas se defendere posset. Oportebat enim pro omniũ salute crucifigi Christũ. Verùm oportebat quidẽ, ait: Væ tamẽ per quem fit. Bonum esset illi homini, si nõ esset natus. Igitur id quod cernitur, strãgulatio proditionem eius secuta est. Quòd autẽ sub oculos non cadit, nec mente quidem comprehendere quisquam posset. Non enim licet cogitationem hominis capere, quæ pœnæ sint Christi proditori. Nã licet euenisse oportet, inseruisse tamen decreto fatali, non est honestæ purgationis. Oportet igitur quamprimum & Ausurianos & Andronicum pro his quæ in nos cõmiserũt pœnam meritam ferre. Nam & locustam quæ depopulata est nostros fructus, quæ vsque ad calamum segetes, vsque ad corticem stirpes cõsumpsit, præcipitator in pontum ventus tollens, trusit in medium mare. Huic igitur plagæ austrum opposuit Deus: & in Ausurianos iam aliquis electus est ab eo ductor: ac vtinam liceat eum nostrum esse eorũ qui ab eo aliquando profecti sunt, Imperatorũ

Matth. 26.

Exod. 13.

maximè pium & iustissimum. Illum ob trophæum contra eos erectū, beatum prædicare mihi liceat: Beatus enim, inquit, qui retributionem ipsis
Psalm. 613. retribuet. Beatus qui illidet infantes eorum ad saxum. Ecquod porro exitium manet perniciem regionis Andronicum? Ecquod tandem iustum perferet supplicium animi malefici? Nam mihi plagis omnibus, quib. persecutus est peccata nostra Deus, Andronicus est longè grauior. Nam præter communes calamitates, iste meum est malum priuatum. Per istū molitur tētator, vt fugiam altaris ministerium. Reuocanda est autem mihi paulū supra oratio, vt his quæ scitis, addens quæ non omnes cognoscitis, consequentem vobis explicationem rerum mearum instituam. Nam etiam ad ea quæ sequūtur, mihi commodum est vos auditores mihi esse. Mihi à puero in mentem venit diuinum bonum esse otium, & vitæ tranquillitatē. Hoc quòd naturis diuinis conuenire quidam dixit, hoc ipsum est mentem nutrire & cum Deo coniungere,

εὐσεβέστατόν τε καὶ δικαιότατον. τοῦτον ἐπὶ τῶν
καθ' αὐτὸν ἐπαίνῳ μακαρίσαι μοι γένοιτο·
μακάριος γάρ, φησίν, ὃς ἀνταποδώσει τὸ ἀν-
ταπόδομα αὐτοῖς· μακάριος ὃς ἐδαφιεῖ τὰ
νήπια αὐτοῦ * πρὸς τὴν πέτραν. τίς δὲ ἄρα, τίς γρ. πα-
ὄλεθρος περιμένει τὸν παλαμναῖον τῆς χώρας ρα' τ.
Ἀνδρόνικον· τίς ἀξία γένοιτ' ἂν δίκη ψυχῆς
κακεργάτιδος. ὡς ἐμοὶ τῶν πληγῶν ἁπασῶν
αἷς μετῆλθεν ἡμῶν τὰς ἁμαρτίας ὁ θεὸς, Αν-
δρόνικός ἐστι μακρῷ πάντων βαρύτερος. πρὸς
γὰρ ταῖς κοιναῖς συμφοραῖς, τοῦτο ἐμοὶ ἐστι κακὸν
ἴδιον. διὰ τοῦτο μέτεισιν ὁ πειράζων, ἵνα
δραπετεύσω τοῦ θυσιαστηρίου τὴν λειτουργίαν·
ἐπανακτέον δέ μοι μικρὸν ἄνω τὸν λόγον, ἵν' οἷς
ἴστε, προσθεὶς ἃ μὴ πάντες γινώσκετε, ἀκό-
λουθον ὑμῖν τὴν διδασκαλίαν τῶν περὶ ἐμὲ πραγ-
μάτων ποιήσωμαι. καὶ γὰρ πρὸς τὰ μετὰ ταῦτά
μοι καλῶς ἔχει τούτων ὑμᾶς ἀκροατάς μοι
γενέσθαι· ἐμοὶ παιδόθεν παρέστη θεῖον ἀγαθὸν
εἶναι, σχολὴ καὶ τοῦ ζῆν ἀμέριμνα· τοῦτο, ὃ ταῖς
θείαις φύσεσι προσήκειν τίς ἔφη, αὐτὸ τοῦτ'
εἶναι, τὸ τὸν νοῦν ἐκτρέφειν καὶ συνιστᾶν τῷ θεῷ,

τὸν ἔχοντά τε αὐτὴν καὶ καρπούμενον. ὅσα δὴ παισίν ἐστιν ἢ γὰρ πράγματα, τούτων ἐλάχιστον ἐγὼ μετέσχον, καὶ ὅσα μειρακίοις, καὶ ὅσα νέοις· καὶ εἰς ἄνδρα παραγγείλας, οὐδέν τι παιδαρίου πρὸς ἀπραγμοσύνην παρήλλαξα· ἀλλ' ὥσπερ ἐν πανηγύρει σεμνῇ διεξάγων τὸν βίον, διὰ πάσης ἡλικίας ἵλεων καὶ ἀκύμαντον τῆς ψυχῆς ἐτήρησα τὴν διάθεσιν. οὐ μὴν διὰ τοῦτο ἀνθρώποις ἀσυντελῆ με πεποίηκεν ὁ θεός· ἀλλὰ πολλάκις ἡμῖν καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον ἐχρήσαντο. ἐδίδου γὰρ ὁ θεὸς δύνασθαί τε τὰ μέγιστα, καὶ κάλλιστα βούλεσθαι. τούτων οὐδὲν ἐμὲ φιλοσοφίας ἀφεῖλκεν, οὐδὲ τὴν εὐδαίμονά μοι σχολὴν ὑπετέμνετο. ὃ γὰρ ὠθισμῷ, καὶ μόχθῳ καὶ μόλις ποιεῖν, τοῦτό ἐστιν ὃ δαπανᾷ τὸν χρόνον, καὶ τὴν ψυχὴν ἐμβαπτίζει μερίμναις πραγμάτων· ὥστε δὲ εἰπεῖν μόνον καθήκει, ἡ πειθὼ δὲ ἕπεται, καὶ ὁ λόγος αἰσιμώτατός ἐστι παρὰ τοῖς ἀκούουσι, τίς φειδὼ ῥημάτων, ἵνα δυστυχίας τὶς ἐλευθερωθῇ. τίμιον ζῷον ὁ ἄνθρωπος. τίμιον

γὰρ

iungere,&habentem ipſum otium,& eo fruentem. Quæ igitur pueris ſunt aut oriũtur negotia,eorum quàm minimum ego particeps fui:& quæ adoleſcentibus & quæ iuuenibus. Et vir factus nihil à puerulo, quòd quidem ad negotiorum vacationem attinet, diſcrepaui. Verùm tamquam in celebritate honeſta traducens vitam, in omni ætate placidum & imperturbatum animi ſeruaui ſtatum. Non tamẽ idcirco hominib. nihil conferentem me reddidit Deus.verùm ſæpenumero nobis & priuati & ciuitates commodè vſi ſunt. Dabat enim Deus & poſſe plurima,& optima velle. Horũ nihil me à philoſophia diſtrahebat, nec beatum & felix otium amputabat. Nam cum impulſione & labore, & vix facere, hoc eſt quod conſumit tempus, & animum mergit curis negotiorum. Cuius autem partes ſunt tantùm dicere &orare,perſuaſio autẽ ſequitur, & oratio plurimum poteſt apud auditores, quæ parſimonia verborũ,vt calamitatib. quidã liberetur? Precioſum animal homo. Precioſum

enim, si propter eum crucifixus est Christus. Mihi autem persuadere hominibus ad præsens vsque anni tempus, fortasse diuinum beneficiū fuit: fortasse autem vix causas capessens, successus felices habebam. Nunc enim ea res videtur cōfutata esse cum multis aliis rebus, quæ quidem aperte Dei sunt, & id attribuebam ei. Et viuebam cum bona spe tamquam in sacro septo, in mundo, animal liberum, solutum viuens, precationi & libro, & venationi diuidés vitam meam. Nam vt valeat animus & corpus, partim laborare oportet, partim à Deo petere. Cùm tali tranquillitate traduxi annos, vsque ad designationem episcopatus. Quam quidem ad rem ego eorum, qui vnquam fuerunt timidissimus fui. Testor Deum supremum, cuius propter vos arcana sustinui sacrificia, absque humanis ambitionibus & studiis, ad ipsum seorsum multis in temporibus & locis accessi Deum, & pronus & genibus flexis supplex factus, mortem pro episcopatu expe-

γὰρ, εἰ δι' αὐτὸν ἐσταυρώθη Χριστός. ἐμοὶ δὲ
τὸ πείθειν ἀνθρώπους εἰς τὸν μέχρι τοῦ πα- γρ. τοῦτο
ρόντος ἐνιαυτὸν, τάχα μὲν θεῖος κλῆρος ἐγέ- π.
νετο· τάχα δὲ μόλις παρὰ μικρὸν ἀπολόμενος,
ἐπετύγχανον. νῦν γὰρ δὴ τὸ πρᾶγμα ἔοικεν
ἐξεληλέγχθαι μετὰ πολλῶν, ἅ τινα σαφῶς
ἦν τοῦ θεοῦ, καὶ τοῦτ' αἰτήθουν αὐτῷ· καὶ ἔ-
ζων μετ' ἀγαθῶν τῶν ἐλπίδων, ὥσπερ ἐν ἱερῷ
περιβόλῳ τῷ κόσμῳ, ζῶον ἄφετον, ἀνειμέ-
νον ζῆν, εὐχῇ καὶ βίβλῳ καὶ θήρᾳ μείζων
τὸν βίον. ἵνα γὰρ ὑγιαίνῃ ψυχή τε καὶ σῶμα,
τὸ μὲν τι δεῖ πονεῖν, τὸ δὲ καὶ αἰτεῖν τὸν θεόν·
μετὰ τοιαύτης εὐμαρείας εἵλκυσα τοὺς ἐ-
νιαυτοὺς τοὺς μέχρι τῆς ἱερωσύνης αἱρέ-
σεως· πρὸς ἣν ἐγὼ παρὰ τοὺς πώποτε
δηλότατος γέγονα· μαρτύρομαι τὸν ἐπὶ πᾶσι
θεὸν, ὃς δι' ὑμᾶς ἐγὼ τὰς ἀπορρήτους ἐβά-
στασα τελετὰς, δίχα τῶν ἀνθρωπίνων πε-
ριόδων τε καὶ σπουδῶν, αὐτῷ καταμόνας ἐν
πολλοῖς καιροῖς τε καὶ τόποις προσῆλ-
θον θεῷ· καὶ πρηνὴς καὶ γονυπετὴς ἱκέ-
της γινόμενος, θάνατον ἀνθ' ἱερωσύνης

ἠρούμην. αἰδὼς γάρ τις με καὶ φιλία κατεῖχε τῆς ἐν φιλοσοφίᾳ σχολῆς, ὑπὲρ ἧς ἅπαντα δεῖν ᾤμην ποιεῖν τε καὶ λέγειν· ἀλλ᾽ ἐπεὶ τῶν μὲν ἀνθρώπων ἐκράτουν, τοῦ θεοῦ δὲ ἡττώμην, ὡς κοινὴ φήμη· τὸν ἀξιούμενον εἶναι γνώριμον θεοῦ, ἔφερον, ἀλλὰ δυσπνιάστως, τὴν χειροτονίαν τοῦ βίου. δρασμῷ γὰρ ἐπιθέμενον, ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων ἀνέκοψε, καὶ λεγόντων ἤκουσα γερόντων ἱερῶν, ὅτι με θεὸς ποιμαίνει· καί τις ἐπὶ λέξεως εἶπεν, ὡς ἱλαρόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἱλαρυνεῖ τοὺς μετόχους αὐτοῦ· καὶ προσέθηκεν, ὡς ἠμφισβήτησαν ἡμῖν πρὸς θεὸν δαίμονες, οἷς λυπῶ προσχωρήσας τῇ μερίδι τῇ κρείττονι. ἀλλὰ κἂν τι προσβάλλωσι χαλεπὸν, οὐκ ἀμυνεῖται, φησὶ, φιλόσοφος ἱερωμένος. ἐγὼ μὲν οὖν (οὐ γὰρ ῥᾴδιός εἰμι γαυνωθῆναι καὶ λαμπρὸν εἶναι λογίσασθαι περὶ ἐμαυτοῦ) τὴν ἀτυχίαν ἠτιασάμην· ἀλλ᾽ οὐχ ὑπὸ φθόνου δαίμονος. οὐ γὰρ οἶμαί μοι προσήκειν ἀρετὴν, ἥτις ἂν τοὺς βασκάνους ἐκίνησεν. ἀλλ᾽

ctabam. Reuerentia enim quædam & amor me tenebat otij philoſophici; pro quo omnia oportere arbitrabar & facere & dicere. Verùm poſteaquam homines quidem vincebant, à Deo autẽ vincebar, quemadmodum cõmunis fama eſt de * eo qui dignus habetur, qui Dei ſit familiaris, ferebã, verùm ægre & moleſte nouitatem vitæ. Fugam enim aggreſſum, ſpes bonorum & malorum metus retardauit, & dicentes audiui ſenes ſanctos ſacerdotes, quòd me Deus regit. Atque aliquis ad verbum dixit, quòd lætus eſt ſpiritus Sanctus, & lætos reddit qui illius participes ſunt, & addidit quod litigarunt cum Deo propter nos diaboli, quos dolore afficio accedens ad meliores partes. Sed & ſi quid inferant moleſtum, nõ negligitur, ait, philoſophus conſecratus. Ego igitur, non enim facilis ſum, vt gloria efferar, & magnificũ quidquam ſentiã de meipſo, infelicitatem inſimulaui, ſed non ex inuidentia dæmonis; non enim arbitror penes me eſſe virtutẽ, quæ inuidos dæmones commouiſſet. Sed

terrefaciebat, ne potius pœnam luerem, quòd contra fas attigissem mysteria Dei. Et istam infelicitatem vaticinabar, in quàm non paulatim prolapsus sum. Verùm hîc aderam, & omnia mala hîc aderant. Et auctor omnium Andronicus, genius Martius insatiabilis calamitatibus, qui ciuitatis reliquias premit: heu, vbique in foro hominum gemitus, mulierum vlulatus, puerorum lamẽtationes, formam ciuitatis captæ ipsi circundederunt, cuius pars pulcherrima quam Andronicus sumpsit, vt supplicij locus nominaretur, causa fuit, cùm porticũ regiam quòd olim tribunal erat, fecit locum tormentorum. Hanc dæmonibus vltoribus, quibus seipsum tollens dicauit, aram & mensam apposuit. O quàm multis eos ciuium pauit lachrymis. Ecqui Tauroscythæ, qui Lacedæmonij tam multo verberibus expresso sanguine, quæ apud ipsos est coluerunt Dianam. Cursus omnium statim ad me; & vndique statim feriebar auditu & conspectu malorum; ad-

ἐφόβει μὴ μᾶλλον δίκας ὄφλοντα παρ' ἀ-
ξίαν ἅψασθαι μυστηρίων θεοῦ. καὶ ταύτην
τὴν ἀτυχίαν ἐμβατευομένην, εἰς ἣν οὐ κα-
τὰ μικρὸν ὤλισθον· ἀλλὰ παρ' ἣν ἐνταῦθα,
καὶ τὰ δεινὰ πάντα παρ' ἣν· καὶ χορηγὸς πάν-
των Ἀνδρόνικος, καὶ δαίμων ἀλιτήριος ἄπληστος
συμφορῶν, τῆς πόλεως τοῖς λειψάνοις ἐγκεί-
μενος ἔα· πανταχοῦ τῆς ἀγορᾶς ἀνδρῶν οἰ-
μωγαί, γυναικῶν ὀλολυγαί, παίδων ὀλο-
φυρμοί, σχῆμα πόλεως ἐδῃωκυίας αὐτῇ πε-
ριτέθηκεν, ἧς τὸ κάλλιστον μέρος ἀποτεμόμε-
νος, τίσεως χωρίον ὀνομασθῆναι γέγονεν αἴ-
τιος, τὴν στοὰν τὴν Βασίλειον, τὸ πάλαι κρι-
τήριον, ἀποδείξας Βασανιστήριον. ταύτην
δαίμοσι ποινίμοις, οἷς ἑαυτὸν ἄρας προσένει-
με. βωμὸν καὶ τράπεζαν παρέθηκεν. ὢ πόσοις
αὖθις πολιτῶν εἰστίασε δάκρυσι. ποῖοι ταυ-
ροσκύθαι, τίνες Λακεδαιμόνιοι, τοσούτῳ τῷ
διὰ τῶν μαστίγων αἵματι τὴν παρ' αὐ-
τοῖς ἐτίμησαν Ἄρτεμιν. δρόμος ἁπάν-
των εὐθὺς ἐπ' ἐμέ· καὶ πανταχόθεν εὐ-
θὺς ἐβαλλόμην, ἀκοῇ καὶ θέᾳ κακῶν·

νουθετήσας, οὐκ ἔπεισα· ἐπιτιμήσας, ἠρέθισα. ὁ παρὼν καιρὸς, ἤλεγξεν ἡμῶν τὴν ἀσθένειαν, ἣν μέχρι νῦν *ἔκρυψεν ἀπὸ τῶν ἀνθρώπων θεός. συγχωρουμένων γὰρ ἀεὶ τιμὴν καρπωσάμενος, παρέχειν ὑποψίαν τῇ παρίδι δυνάμεως. καὶ τοῦτο δὴ χαλεπώτατον τῶν συμβεβηκότων ἐστί μοι. παρὰ γὰρ τὴν ἐλπίδα τῶν ἠγνοηκότων με κρίνομαι. οὐδὲ γὰρ πείθω λέγων αὐτοὺς ὡς οὐ δύναμαι· ἀλλ᾽ ἀξιοῦμαι πάντα τὰ δίκαια δύνασθαι. περίεστιν οὖν αἰσχύνεσθαι καὶ λυπεῖσθαι· πάθος εὐθὺς ἐν ψυχῇ, καὶ ποικιλία φροντίδων, καὶ εἰδωλοποιΐα πραγμάτων, καὶ μακρὰν, ὁ θεός· εἰ δαιμόνων εἰσὶ προσβολαὶ τὰ γινόμενα δι᾽ Ἀνδρονίκου, πολὺ ἐποίησαν ὅσον ἐβούλοντο. οὐκέτι τῆς συνήθους ἐν εὐχαῖς γλυκυθυμίας, ᾐσθόμην· ἀλλὰ τὸ μὲν σχῆμα, εὐχῆς. ἐγὼ δὲ καὶ περιηνέχθην ἁπανταχοῦ τῶν πραγμάτων, ὀργῇ καὶ λύπῃ καὶ πᾶσι πάθεσι μεριζόμενος. καίτοι διὰ νοῦ τῷ θεῷ συγγινόμεθα. γλῶττα δὲ ἀνθρώποις τὰ πρὸς ἀνθρώπους

Γρ. ἔκρυπτεν

monens, non persuasi; obiurgans irritaui. Præsens tempus coarguit nostrã imbecillitatem: quam ad hunc vsque diem clã hominib. esse voluit Deus. Cùm enim eorum quibus parcebatur semper honorem essem consecutus, patriæ præbebam opinionem potentiæ. Et istud mihi acerbissimum est, eorum quæ euenerunt. Nam ex spe eorum, quibus ignotus sum, iudicor. Neque enim his fidem facio, dicens quod nõ possum. Sed existimor quidquid æquum est posse. Reliquum est igitur vt erubescã & angar. Perturbatio statim in animo fuit, & varietas curarum, & simulachra rerum animo obuersantia, & procul Deus. Si dæmonum sunt tentationes, quæ per Andronicum geruntur, fecêre quidquid volebant. Non amplius consuetam in precationibus suauitatem sensi: sed speciem orationis. Ego autem circunductus sum quocumque per negotia: ira & dolore & omnibus perturbationibus diuisus. Atqui per mentem vna cum Deo sumus. Lingua autem hominibus, in his quæ cum hominibus intercedunt,

ministra est. Quòd si in orationibus, in animi oscitantiam incidi è vestigio,& in tentationem: tamen mutationem vitæ non eo modo tantum incommodam sensi, ex animi aberratione nactus molestias, sed quia sine luctu ad proximum vsque tempus vixeram, mortuum vidi, ante quem mori optabam. Sic acerbis nos ciuitas aduenticiis excepit, vt eodem tempore hominib. res nunc sursum nunc deorsum eunt:& vnda venit adferens collecta multa, modò prospera, modò aduersa. Verùm posteaquam mihi accidit vt charissimum è meis liberis amitterem, etiam in me ipsum graue aliquid commisissem: sic me totum occupauerat perturbatio. Ego verò in reliquis vir sum: loquor autem apud vos qui scitis. Et multa parent rationi: at consuetudini adeo deditus sum, vt vincerem hoc modo inconsiderantiam rationis. Non igitur philosophiæ decretis præsentem perturbationem & calamitatem superaui: verùm Andronicus in diuersum circumegit,& in publicis incommodis mentem ha-

ὑπηρετεῖ. εἰ τοίνυν ἐν ἀρχαῖς ἀπροσε-
ξίαν ἠτύχηκα, καὶ παραπόδας ἡ πεῖρα, τῆς
γέ τοι τοῦ βίου μεταβολῆς, οὐ ταύτῃ μόνον εἰς
κακὸν ἀπολέλαυκα, ἐξ ἀπροσεξίας εὑ-
ράμενος πράγματα, ἀλλ' ἀπενθὴς τὸ μέ-
χρι πρώην διαγενόμενος, νεκρὸν ἐπεῖδον,
οὗ προαποθανεῖν ηὐχόμην. οὕτω πικραῖς
ἡμᾶς ἡ πόλις ἐπιβατηρίοις ἐξένισεν, ὡς ἅ-
μα τοῖς ἀνθρώποις τὰ πράγματα νῦν
μὲν ἄνω, νῦν δὲ κάτω* χωρεῖ· καὶ ῥοῦς ἤ- γρ. περι-
χει φέρων ἀθρόα πολλά, νῦν μὲν αἴσια, χωρεῖ,
νῦν δὲ ἀπαίσια. ἀλλ' ἐπειδή μοι συνέ-
πεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον,
κἂν εἰργασάμην αὐτός τι δεινὸν ἐμαυτόν,
οὕτως ἐδυσώχειν τοῦ πάθους. ἔγωγέ τοι τὰ μὲν
ἄλλα ἀπείρων εἰμί· λέγω δὲ ἐν εἰδόσι· καὶ
πολλὰ δεῖται τοῦ λόγου· συνηθείας δὲ* οὕ- γρ. οὐδὲ
τω τοι ἥττων, ὡς ταύτῃ κρατεῖν τὴν ἀλο- οὕτω δὲ
γίαν τοῦ λόγου. οὔκουν οὐδὲ τοῖς ἐκ φιλο-
σοφίας δόγμασι τοῦ παρόντος πάθους ἐκρά-
τησα· ἀλλ' Ἀνδρόνικος ἀπήγαγε, ὃ
πρὸς τὰς κοινὰς συμφορὰς τὸν νοῦν

ἔχει ἐποίησε· καὶ γεγόνασί μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθει πάθος ἐκκρούουσαι. συνεπιτίθεται δή μοι τῇ πικρᾷ τῶν παρόντων αἰσθήσει, μνήμη τῶν παρελθόντων ἀγαθῶν, ἐξ οἵων ἄρα, ἐν οἵοις γεγόναμεν· Γρ. πονηρῶς, καὶ ζῶ πονήρως, ἅμα πάντων ἀφῃρημένος. ὃ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι καὶ δύσελπιν εἶναι τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκεσίαις θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος· εἶτα τὴν μὲν οἰκίαν κακῶς πράττουσαν ὁρῶ· τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκτεῖν ἀναγκάζομαι. πᾶσι δὲ ἐκκείμενος ἐφ' ᾧ προσανακλάεσθαι, καὶ τὰ καθ' αὑτὸν ἕκαστον ὀλοφύρεσθαι, ἔλεον αὐτοῖς ἀνόνητον ἐλεῶ. καὶ πρόσεστι τὸ αἰσχύνεσθαι, ὅτι πολίτην ἄνδρα χρησάμενον συμφοραῖς, καὶ κλαπέντα χρυσίον δημόσιον, ἀπαιτήσας ὑπὸ σατράπας μυρίους, ἔγνωκεν ἀναβολὴν μὴ διδοὺς ἀποκ-
Γρ. διχιλίους· τεῖναι διὰ χιλίους· μᾶλλον δὲ δι' ἐμέ. δι' ἐμὲ γὰρ αὐτὸν ἔχει καθείρξας εἰς ἀνεπιχεί-

bere fecit. Et fuere mihi calamitates ſolatia calamitatum ad ſeipſas retrahentes, & malo malum exturbantes. Aggreditur igitur me cum acerbo præſentium dolorum ſenſu, memoria præteritorum bonorum, ex quibus in quibus verſemur, & viuo miſere ſimul omnibus ſpoliatus. Ac quòd maximum malorum: quòd mihi etiam male ſperantem vitam reddit, non ſolitus repulſam ferre in ſupplicationibus Dei, nunc primum intelligo fruſtra me rogaſſe. Deinde familiam meam infælicem eſſe video. Patriam autem infælicem colere cogor. Omnibus autem expoſitus vt conquerantur, & vt quiſque res ſuas lamentetur miſericordia eos inutili proſequor. Et præterea accedit dedecus, quia à ciue homine, qui in calamitates incidit, & cui furto aurum publicum ſublatum eſt repetens vltra ſolidorum aureorũ decem millia, decreuit dilationẽ non concedens interficere ob mille nummos aureos. Maximè autẽ propter me. Propter me enim clauſit eum in inex-

pugnabili arce, in quali Titanas vinctos esse poëtæ cōminiscuntur: & ne eripiatur, inquit, à me, oportet hominem illum quintum hunc diem sine cibo esse, introductione panum interdicta vinctorum custodibus. Atqui nuper vociferantem eum omnes audiuerunt, vtiliorem fore mille solidis aureis, cùm mortuus fuerit, illum reipub. administratorem. Quocirca eos, qui ad eum accedunt ob prædiorum emptionem, territat & perturbat & modis omnibus remouet. Non enim, vt arbitror, aurum petit; verùm hominis necem. Ego autem neque firmus sum ad oppugnāda mœnia firma, neque ingeniosus vt irrepam, & hominem illum calamitate eripiam: Admittit autem, vt quidem aiunt, nemo quemquam. Nam ministri natura quidem sunt tales, nunc verò etiam ad exemplum Andronici viuunt, qui ad dedecorandum ecclesiam præsidet. Ipsius autem iniurias quibus me affecit taceo. Nam ego etiam gratiam ei habeo, ob

Deum

ρητον φρούριον, ἐν οἵῳ τοὺς Τιτᾶνας δεδέ-
σθαι ποιητῶν παῖδες φαντάζονται· καὶ ἵνα
μὴ ἀφαιρεθῇ, φησί, παρ' * ἐμοῦ, δεῖ πέμ- γρ. ὑπ'
πειν ταύτην ἡμέραν ἀπόσιτον εἶναι τὸν ἄν- ἐμοῦ,
θρωπον, εἰσαγωγῆς ἄρτων ἀπηγορευμέ-
νης τοῖς δεσμοφύλαξιν· ἀλλὰ προφανῶς αὐτοῦ
κεκραγότος ἅπαντες ἤκουσαν, ὡς ὠφελι-
μώτερος ἔσται τῶν χιλίων στατήρων ἀποθα-
νὼν ὁ πολιτευόμενος· διὰ δὲ τοὺς προσιόν-
τας αὐτῷ τῇ τῶν χωρίων ὠνῇ, φοβεῖ καὶ πα-
ραιτεῖται, καὶ πάντα τρόπον ἀφίστησιν. οὐ γάρ, οἶ-
μαι, δεῖ τοῦ χρυσίου· τοῦ * δὲ τεθνάναι τὸν ἄν- γρ. οὐδὲ
θρωπον δεῖ. ἐγὼ δὲ οὔτε ἰσχυρότερός εἰμι τ.
πρὸς τὸ τείχεσιν ἐρυμνοῖς προσβάλλειν, ὥ-
στε εὐμήχανος * εἰσερπύσαι, καὶ τῆς συμ- γρ. προ-
φορᾶς ἐξελέσθαι τὸν ἄνθρωπον· παρίησι* σερπύ-
δέ, φασί τινες, οὐδεὶς οὐδένα. οἱ γὰρ ὑπη- σαι,
ρέται, φύσει μὲν εἰσὶν οἵτινές εἰσι, νῦν δὲ καὶ γρ. παρί-
πρὸς τὸ πρόσταγμα ζῶσιν Ανδρονίκου, ὃς ἐπὶ εισι
τὴν ἐκκλησίαν ἀτιμοῦν προσκαθέζε-
ται. τῶν μὲν οὖν εἰς ἡμᾶς αὐτοῦ, λόγος οὐ-
δείς. ὡς ἐγὼ κἂν χάριν εἰδείην αὐτῷ,

τὴν διὰ θεὸν ἀτιμίαν δεχόμενος, ὡς μαρ-
τύριον. ἀναμνήσθητε γὰρ ὑμεῖς, τίς ἦν
Γρ. πατρῴ- πατρὸς* ἐμέ, τὸν εἰ μηδὲν ἄλλο, τὸν ἐξ ἐκεί-
ην· ἐμὲ νων φυόμενον· ἀπ' Εὐρυσθένους τοῦ κατα-
γαγόντος Δωριέας εἰς Σπάρτην, μέχρι τοῦ
μοῦ πατρὸς αἱ διαδοχαὶ ταῖς δημοσίαις
ἐνεκολάφθησαν κύρβεσιν· ἄνθρωπος οὐκ
ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πα-
τρὸς, φασί, πλὴν ὅσον εἰκάσαι· ἀπὸ θυν-
νοσκοπείου δὲ ἐπὶ τὴν ἡγεμονικὴν ἀπήντη-
σεν ἀλώμενος. ὅστις οὖν τὴν ἐν πόλει λαμ-
πρότητα τεθαυμακώς, αἰσχυνέσθω τοῖς
ἐλλείμμασιν. ἀλλ' ἔγωγε ὁ μέχρι τῆς ἱε-
ρωσύνης, καὶ τιμῆς ἐνεφορήθην, καὶ ἀτι-
μίας οὐκ ἐγευσάμην· νυνὶ δὲ οὔτ' ἂν ἠ-
σθείην τιμώμενος, οὔτε καταφρονούμενος
ἄχθομαι. οὐδέτερον γὰρ αὐτῶν ἔτι παρὰ
τοῦ ποιοῦντος εἰς ἐμὲ δοκεῖ γίνεσθαι· ἀλλ'
ἑκάτερον εἰς ἀναφορὰν τοῦ θεοῦ. διόπερ ὁ πολύ-
τα τολμῶν ὅστις ἄνθρωπος, ὡς οὐδὲν οὔτε
λέγων οὔτε ποιῶν παρεκίνησεν, ἀρθεὶς ἀφ' ἡ-
μῶν, αὐτῷ διακηρύττεται τῷ θεῷ, καὶ φωνὰς
ἀφῆκεν

Deum illatam ignominiam accipiẽs, vt martyrium. Recordamini enim vos, ecquis ſit, ſi mecum comparetur, etiamſi nihil aliud in me ſit, quàm quod ex illis natus ſim. Ab Euryſthene; qui reduxit Dorienſes in Spartam, vſque ad patrem meum, ſucceſſiones publicis inſculptæ ſunt tabulis. Homo qui nominare non poſſet auum ſuum, ſed ne patrem quidem, vt aiunt, præter quàm coniectura quadã. qui * à Thynnorum ſpeculatione in præſidialem currum inſiluit. Ille igitur ſplendorem qui in vrbe eſt admiratus, erubeſcat ſuis defectibus. Ego verò ad ſacerdotium vſque honore ſatiatus ſum, neq; ignominiam guſtaui. Nunc autem neque lætor honoratus, neque grauiter fero contemptus. Neutrum enim iam eorum ab auctore in me fieri videtur: ſed vtrumque in Deum conferri videtur. Proinde homo iſte qui audet omnia, poſteaquam me nihil neque dictis neque factis commouit, ſublatus à nobis oppugnat* ipſum Deum, & voces

** qui repente ex cetario & piſcatore præſes factus eſt.*

leg. ἀγακωεῖτε.

emisit coram congregato & circumstāte populo, quas mox audietis, cùm legetur epistola ad ecclesias quæ vbique terrarum sunt. Talis est natura imperita, adepta potentiam: capite cœlum ferire aggreditur. Esto, sit potens, vtatur natura, temporis occasione, interficiat & vinciat inimicorum quemcumque vult. Nobis autem satis est manentibus in eo gradu in quo nos collocauit Deus, liberari societate improborum;

(Conuiciis vt sic purgentur tristibus aures.)

& recusare patrocinium eorum qui iniuria afficiūtur: cum satis nos excusauerimus populo ob incœptum irritum, quod magnanimi hominis erat etiam periculo anteferre: Nunc autem expectauimus dum vos redderemus ex ipsis negotiis idem ac nos sentientes: quia ciuilem virtutem cum sacerdotio coniungere, est nere ea quæ glomerari nerique nequeunt. Priscum tempus tulit eosdem sacerdotes & iudices. Etenim Ægyptij &

ἀφῆκεν ἐπὶ συνεστώτων καὶ παρεστώτων λαῶν*, γρ. ἀν-
ὰς αὐτίκα τῆς πρὸς ἁπανταχοῦ γῆς ἐκκλη- θρώπων,
σίας ἐπιστολῆς ἀναγινωσκομένης ἀκούσε-
σθε. τοιοῦτόν ἐστιν φύσις ἀπαίδευτος ἐπει-
λημμένη δυνάμεως· τῇ κεφαλῇ τὸν οὐρα-
νὸν ἐξαράττειν ἐπιχειρεῖ. ἔστω, δυνάσθω,
κεχρήσθω τῇ φύσει, τῷ καιρῷ, ἀποκτιννύ-
τω καὶ δείτω τῶν πολεμίων ὅν τινα βού-
λεται· ἡμῖν δὲ ἀπόχρη μένουσιν ἐπὶ τῆς
τάξεως, ἐφ᾽ ἧς ἡμᾶς ἔταξεν ὁ θεός, ἀπηλ-
λάχθαι μετὰ τῆς κοινωνίας τῶν πονηρῶν,
Ἀγνεῦσαι δὲ ἀκοὰς βλασφημοσύνης ἀ-
λεγεινῆς:

ἀπογνῶναι δὲ παραστασίας ἀδικουμένων ἀ-
πολελογημένοις ἡμῖν τῷ δήμῳ διὰ τὸ μά-
ταιον ἐπιχειρήσεως, ὃ νοῦ μέγεθος ἔχοντος
ἦν, τὸ περὶ πείρας ποιῆσαι. νυνὶ δὲ περιε-
μείναμεν ὑμᾶς ἐκ τῶν πραγμάτων συμ-
ψήφους ποιήσασθαι, ὅτι πολιτικὴν ἀρετὴν ἱε-
ρωσύνῃ συνάπτειν, τὸ κλώθειν ἐστὶ τὰ ἀσύγ-
κλωστα. ὁ πάλαι χρόνος ἤνεγκε τοὺς αὐτοὺς
ἱερέας τε καὶ κριτάς. καὶ γὰρ Αἰγύπτιοι καὶ

τὸ Ἑβραίων ἔθνος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν· εἶτ' ἐπειδὴ μὲν δοκεῖ τὸ θεῖον ἔργον ἀνθρωπίνως ἐπράττετο, διῴκισεν ὁ θεὸς τοὺς βίους· καὶ ὁ μὲν ἱερὸς, ὁ δὲ ἡγεμονικὸς ἀπεδείχθη. τοὺς μὲν γὰρ εἰς ὕλην ἐπέστρεψε, τοὺς δὲ συνέταξεν ἑαυτῷ· τετάχαται δὲ οἱ μὲν ἐν τοῖς πράγμασιν, ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς ἐστί. τὸ δὲ καλὸν ἀπαιτεῖ παρ' ἀμφοῖν ὁ θεός. τί οὖν ἐπανάγεις· τί δὲ συνάπτειν πειρᾷ τὰ κεχωρισμένα παρὰ τοῦ θεοῦ, ὃς οὐδὲ διοικεῖν ἡμᾶς; ἀλλὰ παραδιοικεῖν ἀξιοῖς· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον. προστάτου σοι δεῖ; βάδιζε παρὰ τὸν ἐπιτροπεύοντα τῶν νόμων τῆς πολιτείας. τοῦ θεοῦ σοί τι δεῖ; ἴθι παρὰ τὸν ἱερέα τῆς πόλεως. οὐχ ὡς ἐνταῦθα ἐνὸν τὸ πάντως ἐπιτυχεῖν, ἀλλ' ὡς ἐγὼ προθυμηθήσομαι· ἂν δή ἐπιτρέπῃ τὶς ἠρεμεῖν, τάχα ποτὲ καὶ δυνήσομαι. ἅμα γὰρ ἀποστρέφεται τὴν ὕλην, καὶ πρὸς θεὸν ἐπιστρέφεται. θεωρία τέλος ἐστὶν ἱερωσύνης, μὴ ψευδομένης τὸ ὄνομα· θεωρία

Hebræorum gens, diuturno tempore à sacerdotibus regnati sunt. Deinde posteaquã, vt mihi videtur, diuinum munus, humano more gerebatur, dissiunxit Deus vitas, & vna sacra, altera præsidialis facta est. Illos enim ad materiam conuertit, hos autem constituit secum. Constituti autem sunt illi vt sint in negotiis, nos autem in precationibus. Quòd autem rectum est flagitat ab vtrisque Deus. Quid igitur reuocas? Quid porro coniungere tentas quæ separata sunt à Deo, qui vt ne quidem administremus nos, verùm improbe munere fungamur flagitas: quo quid miserius esse potest? Patrono tibi opus est. Vade ad eum qui pręfectus est legibus Reipublicæ. Qua in re tibi Deo opus est? i ad sacerdotem ciuitatis. non quòd illic possis impetrare omnino quidquid petis, tamen illud assequi enitar. Si permittat aliquis requiescere, fortasse tandem potero. Simul enim auersatur aliquis materiam, & ad Deum se conuertit. Cõtemplatio finis est episcopatus, nõ ementientis nomen suum. Contem-

platio autem & actio, nolunt vna versari. Appetitus enim, impulsio est ad actionem : nullus autem sine perturbatione: sed oportet vacuum esse ab omni perturbatione animum, cùm futurus est receptaculum Dei. Non puro enim, ait, purum attingere nefas est. Vacui estote, & intelligite quod ego Deus sum. Otio opus est cum contemplatione sacerdotiũ gerenti. Non cõdemno Episcopos illos qui se multis implicant negotiis. Sed meipsum cognoscens vix alteri parti sufficere, admiror eos, qui vtrumque possunt. Mearum virium non est duobus dominis seruire. Quòd si qui sunt qui ab illo descensu non læduntur, possent & episcopi esse & ciuitatibus præesse. Radius solis etiamsi incidat in cœnum, manet purus & incontaminatus. Ego verò idem hoc si faciam, fontibus & mari indigebo. Et si poterat Angelus plus quam triginta annos cum hominibus versatus nihil sentire ex materia mali ad cõtagionem; quid attinuit descẽdere filium Dei. Verùm

Platon.

δὲ ἡ πρᾶξις, οὐκ ἀξιοῦσι συγγίνεσθαι. ὁρμὴ μὲν γὰρ, ὁρμὴ* πράξεων. οὐδεμία δὲ ἀπαθής· ἀλλὰ δεῖ κενὴν εἶναι παθῶν τὴν ψυχὴν τὴν μέλλουσαν ἔσεσθαι δοχεῖον θεοῦ. μὴ καθαρῷ γὰρ, φησὶ, καθαροῦ ἐφάπτεσθαι, μὴ οὐ θεμιτὸν ᾖ. σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός· σχολῆς δὲ τῷ μετὰ φιλοσοφίας ἱερατεύοντι. οὐ καταδικάζω τῶν ἐπισκόπων τοὺς ἐν τοῖς πράγμασιν· ἀλλ' ἐμαυτὸν εἰδὼς μόλις εἰς θέατρον ἐξικνούμενον, ἄγαμαι τῶν δυναμένων ἑκάτερα. ἐμὴ δύναμις οὐκ ἔστι δυσὶ κυρίοις δουλεύειν. εἰ δ' εἰσί τινες, οἳ μηδὲ ἀπὸ τῆς συγκαταβάσεως βλάπτονται, δύναιντο ἂν καὶ ἱερᾶσθαι, καὶ πόλεων προστατεῖν. ἀκτὶς ἡλίου κἂν ὁμιλήσῃ βορβόρῳ, μένει καθαρὰ καὶ ἀμόλυντος· ἐγὼ δὲ ταυτὸ τοῦτο παθὼν, πηγῶν καὶ θαλάττης δεήσομαι· καὶ εἰ δυνατὸν ἦν ἀγγέλῳ πλὴν ἢ τριάκοντα ἐνιαυτοὺς συνανθρωπεύσαντα* μηδὲν ἀπολαῦσαι τῆς ὕλης κακὸν εἰς προσπάθειαν, τί δὲ καταβιῶναι τὸν υἱὸν τοῦ θεοῦ; ἀλλ'

γρ. κίνησις πρ.

γρ. ἐνανθρωπεύσαν

ἔστι προαιρεσία δυνάμεως, ὁμιλοῦντα τοῖς χείροσι, μένειν ἐπὶ τῆς φύσεως, καὶ μηδένα τρόπον παθαίνεσθαι. τοῦτο θεοῦ μὲν ὕμνος ἐστίν· ἀνθρώπῳ δὲ παραίτησις γοῦν διαλαμβανομένῳ τῆς φύσεως αὐτοῦ τὴν ἀσθένειαν. κατὰ τούτους ὑμῖν ἐγὼ τοὺς ἱερεῖς συνέσομαι. οὐ μὴν τό γε κρίνειν χαιρεῖς ἐμαυτὸν ἀφαιρήσομαι, ὡς ὅτῳ δ' ἐξῇ καλοῦντα, καλεῖναι, τουτέστι διὰ τῆς τυχούσης ἐπιστροφῆς ἀγαθόν τι μέγα ποιεῖν. οὕτω καὶ ὁ

γρ. δέ τ. θεὸς πολιτεύεται. τὸ προεστηκέναι δὲ * ἐστὶ τὸ δεινόν, οὗ μήτε θεοῦ φύσις ἀνέχεται, μήτε ὅστις ἑαυτὸν ἀπευθύνει πρὸς τὸν θεόν. εἰ γέγονα χρημάτων ἢ κτημάτων ἐπιμελής, εἰ σύνιστέ μοι λογισμοῖς ἀσχολουμένῳ τῆς καθ' ἡμέραν ἢ τῆς κατ' ἔτος δαπάνης· εἶτα ἐν τοῖς ὑμετέροις τοῦ χρόνου φείδομαι· ἀλαζών εἰμι, καὶ οὐκ ἀξιῶ συγγινώσκεσθαι· εἰ δὲ ἀμελήσας τὴν οἴκοι πρότερον, τῇ κατὰ νοῦν

γρ. ἐπεὶ δέ τ. ὑμᾶς ἐνεργείᾳ συνέταξα τὴν ζωήν, τί δεινὸν εἰ τὴν ἴσων ὑμᾶς ἀξιῶ. ἀλλ' ἐπεὶ * τούτοις ὑμῖν οὐκ ἀρέσκομεν, ὡς ὄντων ἑτέρων οἱ δυνάμ

eſt præſtantia virium, commercium habentem cum deterioribus, manere in ſua natura, nullámque ex ea re perturbationem ſentire. ſed Dei hęc laus eſt: homini autem excuſatio ſit timẽti naturæ ſuæ imbecillitatem. Ad hoc ego præſcriptum vobiſcum ero. Non tamen iudicium temporum mihi adimam, vt cum licebit deſcendentem deſcendere, hoc eſt leui animaduerſione bonum aliquod magnum facere. Sic etiam Deus adminiſtrat. Et adductum & affixum eſſe rebus humanis graue eſt, quòd neque Dei natura patitur: neque qui ſeipſum dirigit ad Deum. Si pecuniarum aut poſſeſſionum fui ſtudioſus, ſi conſcij mihi eſtis rationes accipiẽti quotidiani aut annui ſumptus, deinde in rebus veſtris temporis ſum parcus, ſuperbus ſum, & nolo mihi veniam dari: ſin neglectis rebus domeſticis prius, in mentis actione collocaui vitã, an iniquum eſt ſi iiſdem reb. vos dignor? Verùm quãdoquidẽ hoc ipſo vobis non ſatisfacimus, quod ſint alij qui eodem tẽpore

possint in vtrisque rebus optime versari, licet statuere id quod melius & ciuitati & ecclesiis & mihi.* Non eiurabo sacerdotium: numquam possit tantum Andronicus. Verùm quemadmodum nec philosophus fui publicus, nec theatri celebritatem secutus sum, neque ludum aperui, nihilóque minus eram, & vtinam sim semper, philosophus: sic nec Episcopus publicus esse volo. Non omnis omnia potest. Postea quam mecum solus fui, & per mentem cum Deo descendens à contemplatione, possum congressus non inutiles habere cum vno aut altero, neque his gregariis; verùm si qui sint aut naturam adepti aut institutionem adsecuti, vt mentem admirentur præ corpore. Sed & longo interuallo negotia attingens, commodo meo, possim esse tempori & occasioni vtilis. Verùm obrutus ab ipsis, mei immemor sum, & negotiorum iacturam facio. Non enim licet, si oderis, rectè facere aliquid. Verùm

* Non abdicabo me Episcopatu.

μετ' ἑαυτὸν ἐν ἀμφοῖν εὖ διαγίνεσθαι, ἔξε-
στι βουλεύσασθαι τὸ λῷον τῇ τε πόλει καὶ ταῖς
ἐκκλησίαις, κἀμοί. οὐκ ἐξομοῦμαι τὴν
ἱερωσύνην, μήποτε δυνηθείη τοσοῦτον Αν-
δρόνικος· ἀλλ' ὥσπερ οὐδὲ φιλόσοφος ἐγε-
νόμην δημόσιος, οὐδὲ θεατροσκοπίαις ἐπε-
θέμην, οὐδὲ διδασκαλεῖον ἤνοιξα, καὶ οὐδὲν
ἧττον ἦν τε καὶ εἰμὶ φιλόσοφος· οὕτως οὐδὲ
ἱερεὺς δημόσιος εἶναι βούλομαι. οὐχ ἅπας
ἅπαντα δύναται. ἐγὼ συγγενόμενος ἐμαυ-
τῷ, καὶ διὰ νοῦ τῷ θεῷ, καταβὰς ἀπὸ
θεωρίας, δύναμαι συνουσίας οὐκ ἀχρή-
στους ποιεῖσθαι πρὸς ἕνα καὶ δύο· καὶ οὐδὲ
τούτοις ἀγελαίοις, ἀλλ' εἴ τινες εἶεν, ἢ φύ-
σεως λαχόντες, ἢ ἀγωγῆς εὐτυχήσαντες,
ὥστε νοῦν τεθαυμακέναι περὶ σώματος. ἀλλὰ
καὶ διὰ πολλοῦ* πραγμάτων ἁπτόμενος γρ. πολ-
μετὰ τῆς ἐμαυτοῦ ῥᾳστώνης, γινοίμην ἂν τῷ λῶν
καιρῷ χρήσιμος· καταχωννύμενος δὲ ὑπ'
αὐτῶν, ἐμαυτοῦ τε ἐπιλήσμων εἰμὶ, καὶ
τῶν πραγμάτων ζημίαν ποιῶ. οὐ γὰρ
ἔστι μισοῦντα καλῶς τι ποιεῖν· ἀλλ'

ὁ μὴ πάσῃ τῇ γνώμῃ δεδογμένα ποιῶν,
γρ. ἐστὶ ἄθυμος *ἔρχεται πρὸς τὴν πρᾶξιν, ἧς
πρὸς ἥ. προεστάναι δεῖ· ὅστις δὲ πρὸς μὲν χολὴν
ἀνοικείως ἔχει, καὶ οὐκ ἔστιν ὅπως ταύτῃ χο-
λάζοντι χρήσαιτο (αὐτὸ δὲ τὸ πᾶν ὅπερ ἐστὶ
δημωφελέστατος ἄνθρωπος) πολυχωρο-
τάτῃ ψυχῇ ταῖς ἀπολύτων ἀρχούσῃ φρον-
γρ. δὴ πέφ. τίσιν, ὅστις ὅπη *πέφυκεν, οὕτω καὶ βούλε-
ται, ὁ τοιοῦτος κἂν χαίρων εἴδειν ταῖς ἑλκού-
σαις αὐτὸν ἐφ' ἑαυτὰς προαιρέσεσιν· ὑποθέ-
γρ. πορίζονται. σεις γὰρ αὐτοῦ τῇ φύσει *χαρίζονται. καὶ μέ-
γιστον εἰς τὸ κατορθοῦν ἐφόδιον, ἡ φιλία τοῦ
πράγματος. ἐξαιρετέος οὖν ἅπασιν ὑμῖν
ὁ λυσιτελέστατος ἄνθρωπος, καὶ ἀφαιρε-
τέος ἡμῖν, οἱ μόνοι μόλις σῳζόμεθα· τί κε-
κράγατε. οὐ διότι μήπω γέγονεν, ἄξιόν ἐστι
μηδὲ νῦν γενέσθαι. πολλὰ τῶν δεόντων ὁ
χρόνος ἐξεῦρε καὶ διωρθώσατο. οὐχ ἅπαντα
γρ. παραδείγματα γίν. πρὸς *παραδείγματα γέγονε. καὶ τῶν γινο-
μένων ἕκαστον, ἀρχὴν ἔσχε, καὶ πρὶν γενέ-
σθαι, μήπω γινόμενον ἦν. ἀξιώτερόν ἐστι προ-
τιμηθῆναι συνηθείας τὸ χρήσιμον. ἡμεῖς

qui non toto animo probata facit, triſtis accedit ad actionem cui præeſſe oportet. Qui autem ad otium non eſt accõmodatus, neſcitq; quid ſeipſo otioſo faciat (quidquid autem eſt, populo vtiliſſimus eſt homo) capaciſſimus animus omnium ſufficiens curis; qui quandoquidem natus eſt eo ingenio, ita & vult: qui talis eſt, etiam gratiam haberet trahentibus eum ad ſe caſibus. materiam enim ipſius naturæ tribuunt: & maximum ad rem bene gerendam viaticum eſt ſtudium & amor rei. Deligendus igitur eſt omnibus vobis vtiliſſimus homo, & in noſtrum locum legendus, qui ſoli vix ſalui ſumus. Quid vociferamini? non quia nondum factum eſt & nunc non debet fieri. Multa eorum quæ non oporteret, tempus & inuenit & correxit. Non omnia ad exempla fiunt. Et eorum quæ facta ſunt vnumquodque principium habuit; & priuſquam factum eſſet, nondum factum erat. Satius eſt anteponere conſuetudini vtilitatem. Nos

principium demus consuetudini meliori. In nostrum igitur locum legendus est aut nobiscum legendus, omnino autem legẽdus est ille homo. Quicumque fuerit, omnino me in negotiis ciuilib. multo videbitur peritior, & poterit deterrimos istos homunculos pro vobis lenire & exorare & tractare. Igitur si nondum videbitur, illud in aliud tempus differam. Licebit enim de eo sigillatim, & alij cum aliis, vt deliberemus. Nunc autem quomodo consessus puniat Andronici insaniam audite.

Ad Episcopos. 58.

Andronicum Beronicensem, qui malo Pentapolis fato & natus est, & educatus, & creuit, & qui ipse imperium patriæ emit, neque putet aliquis, neque vocet Christianũ, verùm vt sceleratus omni Ecclesia Dei expellatur cum tota familia. Non quia fuit Pentapolis vltima plaga, post terræmotum, post locustam, post pestem, post incendium, post bellum, perse-

ἀρχὴν δῶμεν ἔθει βελτίονι. αὐθαιρετέος οὖν ἡμῶν, ἢ μεθ' ἡμῶν αἱρετέος, πάντως δὲ αἱρετέος ὁ ἄνθρωπος· ὅστις ἂν ᾖ, πάντως ἐμοῦ τὰ πολιτικὰ μακρῷ φανεῖται σοφώτερος, καὶ διοικήσεται τὰ δύστηνα ταῦτ' ἀνθρώπινα ὑπὲρ ὑμῶν ἐξομιλεῖν καὶ μεταχειρίζεσθαι. οὐκοῦν εἰ μήπω δοκεῖ, τοῦτο μὲν εἰσαῦθις ἀναθώμεθα· ἔξεσται γὰρ ὑπὲρ αὐτοῦ καταμόνας καὶ μετ' ἀλλήλων βουλεύσασθαι· νυνὶ δὲ οἷς τὸ συνέδριον μετῆλθε τὴν Ἀνδρονίκου μανίαν, ἀκούσατε.

Πρὸς τοὺς ἐπισκόπους.

Ἀνδρόνικον τὸν Βερονικέα τὸν κακῇ Πενταπόλεως μοίρᾳ καὶ φύντα, καὶ τραφέντα, καὶ αὐξηθέντα, καὶ τὴν ἀρχὴν τῆς ἐνεγκούσης αὐτὸν ὠνησάμενον, μήτε ἡγείσθω τίς, μήτε καλείτω χριστιανόν· ἀλλ' ὡς ἀλιτήριος ὢν τοῦ θεοῦ, πάσης ἐκκλησίας ἀπεληλάσθω πανέστιος· οὐ διότι γέγονε Πενταπόλεως ἐσχάτη πληγή, μετὰ σεισμόν, μετὰ ἀκρίδα, μετὰ λοιμόν, μετὰ πῦρ, μετὰ πόλεμον,

ἐπεξελθὼν ἀκριβῶς τοῖς ἐκείνων ἐγκαταλείμμασιν, ἄτοπα κολαστηρίων ὀργάνων γένη καὶ σχήματα, πρῶτος εἰς τὴν χώραν εἰσενεγκών· εἴη δὲ εἰπεῖν, ὅτι ὁ μόνος χρησάμενος, δακτυλήθραν, καὶ ποδοστράβην, καὶ πιεστήριον, καὶ ῥινολαβίδα, καὶ ὠτάγραν, καὶ χειλοστρόφιον· ὧν οἱ προλαβόντες τὴν πεῖράν τε καὶ τὴν θέαν, καὶ τὸν πόλεμον προαπολόμενοι, παρὰ τῶν κακῶς περισωθέντων ἐμακαρίσθησαν· ἀλλ' ὅτι πρῶτος παρ' ἡμῖν καὶ μόνος, ἔργῳ καὶ λόγῳ τὸν Χριστὸν ἐβλασφήμησεν· ἔργῳ μὲν, ἀφ' οὗ τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπαττάλευσεν ἑαυτοῦ διατάγματα, τοῖς μὲν ὑπ' αὐτοῦ παρανομουμένοις, τῆς ἀσύλου τραπέζης ἀποκλείων τὴν ἱκετείαν, ἀνατεινόμενος δὲ τοῖς ἱερεῦσι τοῦ θεοῦ ταῦτα, ἃ κἂν Φάλαρις ὁ Ἀκραγαντῖνος, κἂν Κεφρὴν ὁ Αἰγύπτιος, κἂν Σενναχηρεὶμ ὁ Βαβυλώνιος ὤκνησεν, ὁ πέμψας εἰς Ἱερουσαλὴμ τοὺς ὀνειδιοῦντας Ἐζεκίᾳ καὶ τῷ θεῷ. ἐκείνην ἐγὼ τὴν ἡμέραν ἐνηνοχέναι φημὶ τὸν

διάπειρον

perſecutus diligenter illorum reliquias inuſitata pœnalium inſtrumentorum genera & formas, primus qui in hanc regionem intulit (liceat autem dicere quòd & ſolus vſus ſit) digitale & pedicam & prælum & poſtomin & forcipem auricularium, & inſtrumenta ad torquenda labia: quorum qui præuenerunt & ſenſum & ſpectaculum, & qui bello ante mortui ſunt, ab his qui in ſuam perniciem ſeruati ſunt, beati prædicati ſunt. Sed quia primus apud nos & ſolus re & verbo in Chriſtum contumelioſus fuit. Re quidem, propterea quod ianuæ eccleſiæ ſua edicta affixit, iis qui ab ipſo iniuria afficerentur, inſpoliatæ * & immunis menſæ adimens ſupplicationem: minitans autem ſacerdotibus iſta quæ non Phalaris Agrigentinorum tyrannus, & Cephren Aegyptius, & Sennacherim Babylonius auſus eſſet, qui miſit Ieruſalem qui maledicerent Ezechiæ & Deo. Illam ego diem tuliſſe dico

* Quæ aſyli ius habet.

ſecundam crucem Dei. nam ad contumeliam Chriſti, contumelioſus ille libellus pendebat è ſacris foribus. atque ea vidit ſol, & legerunt homines: non Tiberio Claudio Cæſare Remp. adminiſtrante, à quo Pilatus, vt præſes eſſet Iudæorum, admiſſus eſt: ſed pia ſobole Theodoſij habente Romanorum ſceptra, à qua comparato ſibi Imperio fefellit Andronicus, ſub voluntate Pilati. Riſui erant edicta illa, iis qui præteribant, & ex alia ſecta erāt, quemadmodum Iudæis quæ adſcripta fuerant cruci Chriſti. quamquam titulus crucis perfectus ab animo non pio, honeſtis erat verbis, per quem rex Chriſtus prædicabatur: hîc autem lingua cum ſententia conſentiebat. Quæ autem poſtea ſecuta ſunt grauiora fuêre iis quæ nuper promulgata ſunt. Poſteaquam enim erat contra inimicnm occaſionem nactus: inimici autem erant inter ſe, quòd alter nuptias affectabat, alter prohibebat: eum illis abominandis cruciabat pœnis quæ vtinam

δεύτερον σταυρὸν τοῦ θεοῦ. ἐπὶ γὰρ ὀνειδισμῷ τοῦ Χριστοῦ, τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέματο. καὶ ταῦτα ἐπεῖδεν ἥλιος, καὶ ἀνέγνωσαν ἄνθρωποι· οὐ Τιβερίου Κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφ' οὗ Πιλάτος ἐπὶ τὴν Ἰουδαίων ἡγεμονίαν ἐστάλη· ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ σκῆπτρα Ῥωμαίων ἐχούσης, ἀφ' ἧς ἔλαθεν Ἀνδρόνικος ἑαυτὸν μνηστεύσας ἀρχὴν, ὑπὸ τῷ Πιλάτου φρονήματι· γέλως ἦν τοῖς παριοῦσι τῶν ἑτεροδόξων τὰ γράμματα, καθάπερ Ἰουδαίοις τὰ παραγεγραμμένα τῷ σταυρῷ τοῦ Χριστοῦ. καί τοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ βασιλεὺς ὁ Χριστὸς ἐκηρύττετο. ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ δὴ μετὰ ταῦτα τὸν προφήτην ἐστηλιτευμένων βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινα καὶ ἐχθροῦ πρόφασιν εὑράμενος· ἔχθρα δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν ἐσπούδαζεν, ὁ δὲ ἐκώλυεν· ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ᾐκίζετο,

ἃ μὴ παραδοθεῖν τῷ διαδεχομένῳ χρό-
νῳ· μετ' αὐτοῦ δὲ ὥσπερ ἤρξατο, παύσαιτο,
γρ. ἀκο-αῖς καὶ γένοιτο τοῖς μεθ' ἡμᾶς ἀκοή* ταῦτα τῆς
ἡγεμονίας Ἀνδρονίκου σπουδάσματα. ἐπεὶ δ' οὖν
ἀνὴρ εὐγενής, οὐκ ἀδικῶν, ἀλλ' ἀτυχῶν ἐπ'
αὐτοῖς κατετείνετο· καὶ ταῦτα τὸ τῆς με-
σημβρίας ἑδρᾶτο σταθερώτατον, ἵν' ὑπὸ μό-
νοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο· καὶ τὴν
ἐκκλησίαν ἔγνω γινομένην αὐτῷ συμπα-
θῆ, κατ' ἄλλο μὲν οὐδέν, ὅτι δὲ μαθόντες,
εὐθὺς ὡς εἴχομεν ἐξεδράμομεν, ἐφ' ᾧ πα-
ρακαθίζησαι καὶ συνδιενέγκαι τὴν συμφο-
ράν· λυπηρὰ πρὸς τὴν ἀκοήν, εἴ τις ἐπίσκο-
πος ὢν ἐλεῆσαι τετόλμηκεν ἄνθρωπον ἀ-
πηχθημένον αὐτῷ, καὶ πολλὰ καὶ παράνομα
νεανιευσάμενος, τοῦ θρασυτάτου τῶν ὑπη-
ρετῶν Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ χρῆται
πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ·
πέρας ἐπέθηκε τῇ μανίᾳ τὴν ἀθεωτάτην
φωνὴν εἰπών, ὅτι μάτην ἐπὶ τὴν ἐκκλη-
σίαν ἤλπισε· καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν
Ἀνδρονίκου χειρῶν, οὐδ' ἂν εἴ τις τὸν πόδα

ne tradantur ſucceſſioni tẽporis.cùm ipſo quemadmodum cœperunt, deſinant, & audiantur à poſteris, iſta ſigna & indicia Andronici Imperij. Cùm igitur vir nobilis, non facinoroſus, ſed infelix cruciabatur ab ipſis, ídque meridie fiebat maximo ardore, vt moreretur ſub ſolis teſtibus carnificibus: & eccleſiam nouit miſericordia eius duci, in alio quidem nullo, quòd verò eum intellexiſſemus ſtatim vt nos habebamus, excurrimus vt aſſideremus & vna calamitatem perferremus. corripitur rabie ad auditum, ſi quis Epiſcopus miſericordia proſequi auſus eſſet hominem inuiſum Andronico: ac multa nefaria auſus, audaciſſimo miniſtrorum Thoante eum ſtimulante, quo ad publicas calamitates inſtrumento vtitur: finem impoſuit furori ſuo, impriſſiſimam vocem locutus, quod fruſtra ſperaret in Eccleſia, nemóque eriperetur è manibus Andronici, ne ſi quidem ipſius pedem

Chriſti teneat. Illam impio animo ter profatus eſt vocem, poſt quam non iam admonendus homo, ſed tamquam membrum incurabile reſcindendus à nobis, vt ne ſocietate etiam quod ſanum eſt corrumpatur; nam labes propagatur & ſerpit & qui
“ tangit ſceleratum etiam contagio-
“ nem ſentit. Oportet autem & animo
“ & corpore puros eſſe apud Deum.
Quamobrem Ptolemaïdis Eccleſia iſta ſororibus ſuis aliis quæ vbique terrarum ſunt, edicit; Andronico & ſuis, Thoanti ſuíſque nullum Dei fanum apertum ſit. Omne ſacrum ipſis occluſum ſit & templum & ſeptum. Non eſt diabolo pars in Paradiſo: qui etiam ſi fefellerit irrepens, eiicitur. Præcipio autem & priuatis omnibus hominibus, & magiſtratui, ne ſint illi contubernales neque conuictores: Sacerdotibus autem potiſſimũ, ne, qui viuentes eos alloquentur, nec mortuos comitabuntur. Quòd ſi quis vt eccleſiam paruæ vrbis contemſerit, ac receperit abdicatos & ex-

κρατήσειεν αὐτοῦ τοῦ Χριστοῦ. ταύτην ἀπαιδεύτῳ γνώμῃ, πρὸς ἀνεφθέγξατο τὴν φωνήν, μεθ' ἣν οὐκέτι νουθετητέος ὁ ἄνθρωπος, ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῶν. ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ ὑγιαῖνον συμφθείρηται. ὁ γὰρ μολυσμὸς διαδόσιμος γὰρ, καὶ ὁ θίγων ἐναγοῦς, ἀπολαύει τῆς προσεδρείας. δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι, καθαροὺς τοῦ θεοῦ. ἐπὶ τούτοις, ἡ Πτολεμαΐδος ἐκκλησία, τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς ἑαυτῆς ἀδελφὰς διατάττεται· Ανδρονίκῳ καὶ τοῖς αὐτοῦ, Θόαντι καὶ τοῖς αὐτοῦ, μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ θεοῦ· ἅπας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ· ὃς κἂν λάθῃ διαδὺς, ἐξελαύνεται. παραινῶ μὲν οὖν καὶ ἰδιώτῃ παντὶ καὶ ἄρχοντι, μήτε ὁμωρόφιον αὐτῷ, μήτε ὁμοτράπεζον γίνεσθαι· ἱερεῦσι δὲ διαφερόντως, οἳ μήτε ζῶντας αὐτοὺς προσεροῦσι, μήτε τελευτήσαντας συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικροπολίτιν ἀποσκυβαλίσει τὴν ἐκκλησίαν, καὶ δέξεται τοὺς ἀποκηρυττ-

τοις αὐτῆς, ὡς οὐκ ἀνάγκη τῇ πένητι πείθεσθαι, ἴστω χίσας τὴν ἐκκλησίαν, ἣν μίαν ὁ Χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε Λευίτης ἐστὶν, εἴτε πρεσβύτερος, εἴτε ἐπίσκοπος, παρ' ἡμῖν ἐν Ανδρονίκου μοίρᾳ τετάξεται· καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιὰν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτὲ σιτησόμεθα· πολλοῦ δὴ δεήσομεν κοινωνῆσαι τῆς ἀποῤῥήτου τελετῆς, τοῖς ἐθελήσασιν ἔχειν μερίδα μετὰ Ανδρονίκου καὶ Θόαντος.

Α Ανύσιῳ.

Verùm non licet peruenire ad domũculam illam nisi per totam latitudinẽ. Itaque ars quædam & dolus erat ad vindicandum tumulum. Videbatur itaque mihi res illa improba & plus quàm improba. Et videbatur mihi do lẽdum simul pro legibus sacris, simul & pro iure ciuitatis: nam pariter omnia iura perturbari, partim si ratio & lex publicationis excogitaretur, partim si maximè nefaria per ea quæ sanctissima sunt iudicentur, si oratio, & sacra mensa & velum arcanum, instrumẽta incursus & oppressionis violentæ sint. Ac de his quidem etiam in vrbe iudicatum fuerat. Etenim tum ita accidit, vt conuenerint omnes Episcopi præter paucos, Ptolemaidem, ob aliquam deliberationem ciuilem. Audientes autem factũ, oderant; mutationem autem timebant. Ego verò superstitionẽ volo distinguere à vera religione. Vitiũ enim est virtutis persona circũdatum; quam Philosophia tertiã esse impietatis speciẽ deprehẽdit. Nihil igitur sacrũ, nihil sanctũ arbitror quod nõ sit factũ iustè & sãctè.

Itaque non in animum inducebam horrere dictam dedicationem. Non enim ſunt res Chriſtianorum eiuſmodi, vt neceſſe ſit Deum ſequi materias rituales & ceremoniales, & voces tanquam illecebras quaſdam naturales, quod accidere poſſet ſpiritui mundano, ſed vt adſit opus eſt animis à perturbatione vacuis, & Deo cognatis. Vbi autem ira & excandeſcentia iniuſta & iniqua & contentionis plena perturbatio, actionis auctor eſt, quomodo illuc ſpiritus ſanctus accedit, quibus ſuperueniẽtibus etiamſi ante incola alicuius animi Deus fuerit, exturbatur? Ego igitur ſic animatus eram vt pronunciaturus eſſem mutationem: Ille autem conuincebatur & antea pollicitus illam fuerat, confirmante iureiurãdo. Hoc accepto lubenter, fugiebam ſententiæ pronunciationem, ſed illum ipſum oſtendebam ſibi iudicem eſſe, & cogebam educere proprium limitem. Illo autem recuſante & differente, poſteaquam ob deliberationem aliquam eccleſiaſticam illuc veni, opor-

μένον· οὔκουν ἐπῄει μοι πεφρικέναι τὴν λεγομένην καθίδρυσιν. οὐ γὰρ ὅτι τὰ Χρι-στιανῶν, ὡς ἐπολύασκες εἶναι ταῖσδε ταῖς τε-λεστικαῖς ὕλαις τε καὶ φωναῖς, ὥσπερ ὁλ-καῖς ποιν φυσικαῖς ἀκολουθῆσαι τὸ θεῖον, ὅπερ δὴ πάθοι πνεῦμα ἐγκόσμιον, ἀλλ' ὥστε πα-ρεῖναι ταῖς ἀπαθέσι καὶ ταῖς οἰκείαις τῷ θεῷ διαθέσεσιν· ὅπου δὲ ὀργὴ καὶ θυμὸς ἀγνώ-μων, καὶ δύσερι πάθος ἡγεῖται τῆς πρά-ξεως, πῶς ἐκεῖ τὸ πνεῦμα τὸ ἅγιον πα-ραγίνεται· ὧν ἐπεισελθόντων, κἂν συμβῇ προεισῳκηκός, ἐξοικίζεται. ἐγὼ μὲν οὖν εἶχον ὡς ἀποφανούμενος τὴν μετάθεσιν· ὁ δὲ καὶ ἐξηλέγχετο, καὶ πρότερον ὑποσχό-μενος, αὐτὴν, ὅρκου τὴν ὑπόσχεσιν βε-βαιώσαντος· τούτου λαβόμενος ἀσμένως, ἤδη τὴν ἀπόφασιν ἀπεδίδρασκον· ἀλλ' ἐκεῖνον αὐτὸν ἀπέφαινον ἑαυτοῦ δικαστὴν, καὶ τὸν οἰ-κεῖον* ὅρον ἐκβιβάζειν ἠνάγκαζον. ἀναδυο-μένου δὲ καὶ διατρίβοντος, ἐπεὶ τὸ ἐκκλησια-στικῆς ἕνα σκέψεως αὐτόθι περιελθομένην,

γρ. τῶν οἰκείων ὅρων

ἐδέησεν ἐπιβαλεῖν ταῖς ὄψεσι τοῦ τόπου, καὶ ἐπιδιαγνῶναι τὰ τῆς ὑποθέσεως. καὶ πάλιν πλείων ὅμιλος ἐπισκόπων ἐκ τῆς περιοικίδος, ἄλλου κατ' ἄλλην χρείαν, συνειλεγμένων, ἐφ' ὧν ἁπάντων καὶ μέσου οἵ τε ὅροι διεδείκνυντο τὴν τοῦ Δαρδανίτου μερίδα σαφῶς ἀποτεμνόμενοι, καὶ μαρτυρία γερόντων, καὶ συγκατάθεσις τῶν τέως ἀντιλεγόντων, τὸν εὐλαβέστατον Διόσκορον τοῦ χωρίου δεσπότην ἀπέφηναν· ἐγκειμένου δὲ τοῦ ἀδελφοῦ Διοσκόρου, γέγονεν ἀνάγκη καὶ τὸ γραμματεῖον ὃ λοίδορον εἰς κοινὸν ἅπασιν ἀναγνωσθῆναι, ὃ πρὸς τὴν ἁγιότητα τὴν σὴν ὁ εὐλαβέστατος Παῦλος ἐπεποίητο ἐν ἐπιστολῆς εἴδει, κωμῳδίαν ἐπὶ τὸν ἀδελφὸν ἀνασεσυρμένην καὶ πλημμελῆ, ἀφ' ἧς αἰσχύνεσθαι προσῆκεν, οὐ τῷ κακῶς ἀκούσαντι, τῷ δὲ κακῶς ἀγορεύσαντι· ἀλλ' ἔστιν ἄρα καὶ τοῦτο δεύτερον ἀγαθόν, τὸ αἰσχύνεσθαι. τὸ μὲν γὰρ ἀναμάρτητον, θείας εὐτυχίας ἐστὶ καὶ μοίρας καὶ φύσεως· τὸ δὲ ἐπὶ τοῖς οὐκ εὖ γινομένοις ἐρύθημα, σωφροσύνης τις ἂν ἀπεφήνατο·

tuit in rem præſentem venire, & iterum de cauſa cognoſcere, & rurſus aderat cœtus epiſcoporum ex vicina regione conuocatorum, cùm alius congregatus eſſet ob aliud negotium: coram quibus omnibus, atque etiam me, limites oſtẽdebantur, dirimentes aperte Dioſcori partem, & ſenũ teſtimoniũ & approbationes, eorũ qui ante contradicebant, oſtenderũt piiſſimum loci dominum Dioſcorum. Inſtante autem fratre meo Dioſcoro neceſſe fuit & libellũ famoſum omnib. recitari quem ad ſanctitatem tuã piiſſimus Paulus fecerat, in forma epiſtolæ, comœdiam impudentem contra fratrem & improbam, à qua erubeſcere ſuppetebat, non ei qui male audierat, ſed ei qui male dixerat. Sed eſt profecto & iſtud ſecundum bonum, erubeſcere. Nam extra peccatum eſſe, diuinæ eſt plane fœlicitatis & naturæ. Ceterũ rubore ſuffundi ob ea quæ rectè facta non ſunt, aliquis pronunciaſſet eſſe modeſtiæ.

ἀφ' ἧς ἐπιστὰς ἐπὶ τοῦ παρόντος πρά-
γματος ὁ εὐλαβέστατος Παῦλος, ἁπάσης
ῥητορείας ἰσχυροτέραν ἀπέφηνε τὴν ἐξ οἰ-
κείας γνώμης μετάνοιαν. τὸ γὰρ ὁμολογῆ-
σαί τε ἁμαρτεῖν, καὶ φαίνεσθαι τὴν αἰσχρὰν
λύπην τὴν ὡς ἐπὶ κακοῖς αὐθαιρέτοις λυ-
πούμενον, πάντας ἡμᾶς εὔνους αὐτῷ καὶ
συνδιατιθεμένους παρέσχετο. καὶ τὸ μὲν ἡμέ-
τερον οὐ θαυμαστόν· ἀλλ' ὁ εὐλαβέστατος ἐ-
πίσκοπος Διόσκορος, ἐπειδὴ τὸν τέως διαφι-
λοτιμούμενον ταπεινότερον ἐθεάσατο, τῇ ψή-
φῳ κρατῶν, ἡττήθη τῇ γνώμῃ· καὶ γέγονεν ἐπὶ
τῷ εὐλαβεστάτῳ Παύλῳ ποιεῖν ὁπότερα
βούλοιτο, κατέχειν, ἢ παραδοῦναι τὸν λό-
φον τοῦ θαυμαστοῦ Διοσκόρου πολλαῖς ἐνδόν-
τος αἱρέσεσιν, ὧν οὐδεμιᾶς ἂν ἀκοῆς περὶ τῆς
ἐκείνου μετανοίας ἠνέσχετο. καὶ γὰρ ἀποδόσθαι
μόνον τὸν λόφον, καὶ ἀμοιβὴν δοῦναι πρὶν ἅμα
τὸ κτῆμα, καὶ ἄλλα πολλὰ προσεξεῦρεν, ἐπι-
δαψιλευόμενος αὐτῷ πόρους, ἀφ' ὧν ἄν τις
περιλήψει χρήσαιτο. ὁ δὲ ταῦτα μὲν ὤκνει,
ἠξίου δὲ ὑπεισελθεῖν αὐτὸς τὸν εἰς τὸν ἀδελφὸν

Διόσκορον γνωσιμαχήσαντα ὤνιον, καὶ ὅτι τοῖς αὐτοῖς ἀντικαταστῆναι δεσπότης τοῦ κτήματος, ἐγένετο πρὸς τῷ λόφῳ, καὶ τῶν ἀμπελώνων καὶ τῶν ἐλαιώνων ἐγκρατής· τῷ δὲ ἡ μεγαλοφροσύνη κτῆμα ἀντὶ κτήματος, μεῖζον ἀντ' ἐλάττονος περιγέγονε. κοινὸν ἀμφοῖν ἀγαθὸν, ἡ φιλαδελφία, καὶ τὸ εἴσω γενέσθαι τῶν νόμων τῶν εὐαγγελικῶν, οἳ συνεκτικωτάτην τῶν ἐντολῶν τὴν ἀγαπητικὴν διάθεσιν ἀπεφήναντο. ἓν τοῦτο μόνον ἔδει μνήμης ἀξιῶσαι μηνύοντα τὴν ἀδελφῶν τὰς συμβάσεις καὶ τὴν ὁμόνοιαν, τὰ ἐν μέσῳ δὲ παραλιπεῖν, εἴ τις ἐπίσκοπος ὤν, ἥλω τι παίσας. ἃ γὰρ οὐκ ἔδει πεπρᾶχθαι, ταῦτα καλῶς ἔχει διδόναι τῇ λήθῃ· ἀλλ' ἵνα μὴ πάντα ἐκ πάντων ὁ ἀδελφὸς Διόσκορος ἀποτυγχάνῃ, ταῖς αἰτήσεσιν αὐτοῦ δέδωκα τὸ πᾶσιν ἀκριβῶς ἐπεξελθεῖν, ἵνα μηδὲν ἀγνοήσειεν ἡ σὴ θεοσέβεια, ἣν οὐ παρὰ φαῦλον, ἀλλ' ἀντὶ παντὸς ἐποιεῖτο πεισθῆναι διὰ τῶν ἀποβάντων, ὅτι μὴ ἐπ' ἀδίκοις ἐφιλονείκησε.

ſcoro, & eadem conditione ſubſtitui dominus poſſeſſionis; fuit compos, præter tumulum, & vinearum & oliuetorum. At huic animi magnitudo comparata eſt, poſſeſſio pro poſſeſſione, maior loco minoris. Commune ambobus bonum, fraternus amor, & legum eccleſiaſticarum obſeruatio, quæ pronunciarunt affectum charitatis maximè continere præcepta. Vnum iſtud ſolum oportebat eum cenſere dignum memoria, qui nunciauit fratrum conciliationes & concordiam, quæ autem interuenerunt, prætermittere, ſi quis Epiſcopus eſſet in aliquo lapſu deprehenſus. Quæ enim facta non oportuit, rectum eſt obliuioni mandare. Verùmne frater Dioſcorus fruſtra ſit in omnibus vndequaque, tribui eius petitioni, perſequi omnia diligenter, ne ignoret tua pietas, quàm non pro nihilo, ſed magni ducebat te credere per ea quæ euenerunt, quod non ob iniqua contenderit.

Et ego virum illum cùm ob alia laudo: valde enim meis moribus est aptus: & mirum in modum admiror ob reuerentiam in sedem. Et per charum tuum & venerandum caput, arbitror pauperes Alexandriæ multam ei debere gratiam, quorum agros excolit, celeriter quoquo versum proficiscens, colligens tributa ex rebus desperatis, & opportunis vtens temporibus. Seditio episcoporum sic processit. Præceptum autem mihi erat à te, vt audirem etiam Iasonem qui dicebat se multa & iniusta passum esse à compresbytero. Sic igitur ista se habent. Lamponianum Iason condemnauit iniuriæ, iste autem præueniens confessione probationem, habet pœnam, prohibitus ecclesiastica communione. quamquam emisit lachrymas ex pœnitentia, & populus supplex eum sibi concedi poposcit. Verùm ego mansi in his quæ decreta fuerant. Remisi autem auctoritatem soluendi ad cathedram episcopalem. Tantum igitur mihi sumpsi, si accederet Lamponiano mors, & si certus dies mortis

κἀγὼ τὸν ἄνδρα τά τε ἄλλα ἐπῄνεσα· πολιὸν γάρ μοι πρεσβύτου· καὶ τῆς εἰς τὸν θρόνον ἐκεῖνον αἰδοῦς ἀπεδεξάμην. καὶ ναὶ μὰ τὴν φίλην σοι καὶ σεβασμίαν κεφαλήν, πολλὴν οἶμαι χάριν ὀφείλειν αὐτῷ τοὺς ἐν Ἀλεξανδρείᾳ συμπλώχοις, ὧν τοὺς ἀγροὺς ἐκποιεῖ, ταχὺ πανταχοῦ γινόμενος, καὶ ἐξ ἀπόρων φόρους ἐκλέγων, καὶ τοῖς καιροῖς παριστάμενος. τὰ μὲν περὶ τὴν τῶν ἐπισκόπων στάσιν, οὕτως ἐχάρισεν· ἐπίταγμα δὲ ἦν, ὅπως ἀκούσομαι καὶ Ἰάσονος, ὃς ἔφη πολλὰ καὶ ἄδικα παρὰ συμπρεσβυτέρου παθεῖν. οὕτως οὖν ἔχει κἀκεῖνα. Λαμπωνιανὸν Ἰάσων εἷλεν ἀδικίας· ὁ δὲ φθάσας ὁμολογίᾳ τὸν ἔλεγχον, ἔχει τὴν δίκην, ἐκκλησιαστικῶν συνόδων εἰργόμενος. καί τοι καὶ δάκρυον ἐκ μετανοίας ἀφῆκε, καὶ δῆμος ἱκέτης αὐτοῦ ἐξητήσατο. ἀλλ᾽ ἐγὼ τοῖς δεδογμένοις ἐνεκαρτέρησα· τὸ δὲ λῦσαι τῆς αὐθεντίας εἰς τὴν ἱερατικὴν καθέδραν ἀνέπεμψα. τοσοῦτον οὖν ἐμαυτῷ συνεχώρησα, εἰ προσπελάσειε Λαμπωνιανῷ τὸ χρεὼν καὶ ἡ κυρία παρεῖναι

δόξῃ, πᾶσιν ἐφῆκα τοῖς τότε παρεσομένοις πρεσβυτέροις, κοινωνίας αὐτῷ μεταδοῦναι, μηδεὶς γὰρ ἀποθάνοι δεδεμένος ἐμοί· ἀναρρωσθεὶς δὲ, πάλιν ἐπὶ τοῖς αὐτοῖς ὑπόδικος ἔστω, καὶ περὶ τῆς θεσπεσίας τοῦ καὶ φιλανθρώπου ψυχῆς περιμενέτω τῆς συγγνώμης τὸ σύνθημα. οὐδὲ γὰρ οὐδὲ Ἰάσων πάντα ἀναίτιος ἑαυτῷ, προπετὴς ἄνθρωπος γλῶτταν, ἐνέτυχεν ἀνδρὶ προπετεστέρῳ τὴν χεῖρα· καὶ τοῦτο δὴ τὸ λεγόμενον κουφοτάτου πράγματος λόγου, βαρυτάτην τὴν τιμωρίαν ἐξέτισε· καὶ περὶ τῶν ἐγκλημάτων ἃ διείληφα, ταῦτα Λαμπωνιανὸς ἔχειν ὁμολογεῖ, καὶ οὐδὲν ἀξιοῖ περὶ τῆς ναυαγίας ὠφελεῖσθαι, τῆς ποιησάσης ἀφανὲς τὸ συμβόλαιον· ἀλλὰ καιρὸν αἰτεῖ, τοὺς καρποὺς ὠνίους γενέσθαι· καὶ ἔφη πάντων ἀμελήσας, ἑνὶ τούτῳ προσέχειν τὸν νοῦν, ὡς ἂν τὰ πτωχικὰ καταθεῖτο χρήματα· νομίσματα δὲ ἦν ἑπτὰ καὶ πεντήκοντα πρὸς τοῖς ἑκατόν. ἀνοιστέον ἔτι καὶ περὶ τῶνδε τῶν γινομένων παρ᾽ ἡμῖν,

videretur adesse, quòd permiserim omnibus qui tum aderant presbyteris ei communionem impertire. Nemo enim vinctus anathemate mihi moriatur: vbi autem conualuerit ex graui morbo, eadem conditione obnoxius pœnæ sit, & expectet à diuino tuo & humano animo veniæ signum. Neque enim Iason omnino insons sibi, homo lingua petulans & incontinens, incidit in hominem manu promptiorem. Ac istud sanè quod vulgo dici solet, soluit pœnam grauissimam ob sermonem, rem leuissimam. Et de insimulationibus quæ explicaui, illa fatetur se habere Lamponianus, & nihil postulat se iuuari à naufragio quo amissum est Chirographum. Verùm opus est tempore vt sint fructus vænales: & ait, omnibus neglectis, vni huic se rei animum attendere, vt pecuniæ pauperum soluantur. Nummi autem erant aurei septem & quinquaginta vltra centum. Ad te etiam referendum est de his quæ apud nos fiunt,

ἵνα γινόμενα* γνώσηται. ἱερεῖς ἱερέας παραγινόμενοι διώκουσι· εἰ μὲν ἐπὶ ψευδέσιν, οὔπω λέγω· πάντως δὲ μετ' ἐπιβούλου τῆς προαιρέσεως. οὐ γὰρ ἵνα λάβωσι δίκας, ἀλλ' ἵνα τοῖς* ἄρχουσι τῆς στρατιωτικῆς, ἄδικα κέρδη μνηστεύσωσιν. ἐπὶ δὲ τοὺς ἐμοὺς ὤμους ἀναβαίνειν ἀνάγκη τὰ πάντων φορτία· διὸ δέομαι, γράφε καὶ διὰ παντὸς μηδενὶ μηδὲν ἐξεῖναι τοιοῦτο ποιεῖν. καὶ γὰρ ἐμοὶ χαριῇ καὶ τοῖς ἀπραγμονεστέροις, καὶ κακῶς πάσχουσιν ἀμείνους· καὶ πολὺ πλέον οὗ πεποίηκας ἔσῃ τοὺς ἀδικοῦντας αὐτοὺς, εἴπερ μεῖζον ἀγαθὸν τὸ μείζονος ἀπηλλάχθαι κακοῦ. κακὸν δὲ μεῖζον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν. τὸ μὲν γὰρ, ἴδιον ἐστὶ κακόν· τὸ δὲ, ἀλλότριον. ἀλλ' οὔτ' ἐγὼ κατεμήνυσα τίνες εἰσί, μήτ' αὐτὸς εἰ καὶ μάθοις, ἐπ' ὀνόματος ἐξελέγξῃς τινὰ, ἵνα μὴ ἀπεχθοίμην ἀδελφοῖς, οἷς εἰ καὶ κατὰ πρόσωπον ἰδίᾳ λίαν ἐκτετίμηκα, συγχωρήσει θεός· ἀλλὰ φανείη τὸ πρᾶγμα μόνον μισῶν ἐν τοῖς πρὸς ἐμὲ γράμμασιν. εἴσομαι γὰρ σοῦ

γρ. παυόμενοι. γνώσηται.

γρ. ἄρχουσι τῶν

θεῷ μετὰ τοῦ πᾶσιν ἀλύπου τὸ μηκέτι προεξη-
θὲν φαιδροτέρῳ τῆ ἀδημοσιεύτῳ ἡμῶν· μὴ
γὰρ εἴποιμι τῆς ἐκκλησίας. οἰκονομήσασθαι
δὲ ἓν ἔτι λοιπὸν, καὶ λόγου πεπαύσομαι· πε-
γρ. παρ' ρινοσοῦσί τινες βασκαντίδοι παρ' ἡμῖν. ἀνέ-
ἡμῖν Βα ξῃ γάρ μου μικρὸν ἀποβαρβαρίσαντος·
σκάνιδοι. ἵνα διὰ τῆς συνηθεστέρας τῇ πολιτείᾳ φω-
νῆς τὴν ἐνίων κακίαν ἐμφατικώτερον πα-
ραστήσαιμι. οὗτοι καθέδραν μὲν ἀποδεδει-
γμένην ἔχειν οὐ βούλονται· οἵ γε τὴν οὖσαν
ἀπολελοίπασιν, οὐ κατὰ συμφορὰν, ἀλλ'
γρ. γε- αὐθαίρετοι μετανάσται* γενόμενοι. καρποῦνται
νόμ. δὲ τὰς τιμὰς, ἐκεῖ περινοσοῦντες, ὅπου κερ-
δαλεώτερον. ἐμοὶ δὲ δοκεῖ, πάτερ σεβασ-
μιώτατε, χρῆναι τούτοις, ὅσοι τὰς οἰκείας ἐκ-
κλησίας ἀπείπασιν, πᾶσαν* ἐκκλησίαν ἀ-
γρ. π. οὖν πείπασθαι· καὶ πρὶν ἂν ἀπελθόντες ἐκεῖ
ἐκκλ. καταστήσωνται, μηδένα δέχεσθαι θυσιαστηρίῳ,
μηδ' εἰς προεδρίαν καλεῖν· ἀλλὰ περιο-
ρᾶν ἀγελαίους ἐν ταῖς δημοτικαῖς καθέ-
δραις, ὅταν εἰς ἐκκλησίαν ἐμβάλωσι. τάχα
γὰρ ἂν ἐπανέλθοιεν, εἰ περὶ τῆς τιμῆς κινδυ-
νεύοιεν,

Deo adiuuante, absque cuiusquam molestia, dedecus nostrum non amplius progredi vlterius, non dicam ecclesiæ. Vnum adhuc reliquum est ad emendandum & corrigendum, & tunc dicendi finem faciam. Oberrant nonnulli apud nos Bacantibi: feres enim me paululum barbara quadam dictione vtentem, vt per vocem vsitatiorem Reipub. ostendam nonnullorum improbitatem significantius, ij nolunt habere sedem ratam & constitutam: qui quidem reliquerunt suam ecclesiam, non quadam calamitate, verum voluntarij errones sunt, fruuntur autem honoribus illuc oberrantes, vbi maior quæstus. Mihi autem videtur, pater reuerendissime, oportere his qui renunciarunt suis Ecclesiis, omnem Ecclesiam renunciare. Et prius quàm abeuntes illic constiterint nullum recipere ad altare, neque vocare ad prærogatiuam sedis: sed sinere gregales in plebeiis sedibus, cùm venient in ecclesiam. Celeriter enim reuertentur, si de honore pericli-

tentur, quo honore volunt frui vbique potius quàm vbi decet. Mallent enim illic frui quam nusquam. Et publice quidem ita se gerere oportet cum his, vt cum plane priuatis; si fortean ita placeat reuerendissimæ tuæ sedi. Priuatim autem domi intelligemus quomodo cum illis nos debeamus gerere, cùm veniet à tua pietate responsio illius quæstionis, quam nuper de Alexandro moui Cyrena quidem homine genere, qui episcopus fuit in quadam vrbe Bithyniæ: Qua expulsus per quādam seditionem, cū liceat ei redire, non reuertitur, verùm apud nos moratur. De eo Alexandro scripsi ad sanctitatem tuam, omnia diligenter persecutus quæ ei euenerūt, & sentētiam petens vbi ponere oporteat virum. Quoniam autem nullum mihi de his venit rescriptum, dubius vtrum interciderint an delatę sint litteræ, vsque ad beatū tuum caput collocutus sum hac de re cum admirādo Dioscoro episcopo, & actuariis, vt exemplar darent earum litterarum, quæ tum à me scriptæ sunt, imperaui,

ἰδρύοιεν, ἧς ἀξιοῦσιν ἀπολαύειν ἁπανταχοῦ μᾶλλον, ἢ οἷ προσήκει. δέξαιντο γὰρ ἐκεῖ μᾶλλον ἢ μηδαμοῦ· καὶ δημοσίᾳ μὲν, οὕτω προσοιστέον αὖθις, ὡς ἄντικρυς ἰδιώταις, ἀλλὰ καὶ τῷ σεμνοτάτῳ σου θρόνῳ συνοδικῇ· ἰδίᾳ δὲ καὶ κατ' οἶκον, εἰσόμεθά πως, ὅταν ἥκῃ παρὰ τῆς σῆς θεοσεβείας ἀπόκρισις ἐκείνης τῆς πεύσεως, ἣν πρῴην ἠρώτησα περὶ Ἀλεξάνδρου Κυρηναίου μὲν ἀνδρὸς τὸ γένος, ἱερατεύσαντος δὲ ἔν τινι πόλει τῶν Βιθυνῶν· ἧς ἐκπεσὼν, κατὰ δή τινα στάσιν ἔξον ἐπανελθεῖν, οὐκ ἐπάνεισιν· ἀλλ' ἡμῖν ἐπιχωριάζει. περὶ τούτου γέγραφα πρὸς τὴν σὴν ἁγιότητα, πᾶσιν ἀκριβῶς ἀπεξηγηθὼν τοῖς περὶ αὐτὸν γενομένοις, καὶ γνώμην αἰτῶν οἷ πακτέον τὸν ἄνδρα. ἐπεὶ δὲ οὐδὲν ἥκει μοι περὶ τούτων ἀντίγραφον, ἀμφίβολος ὢν, πότερον διαπέπλωκεν, ἢ διεκομίσθη τὰ γράμματα, μέχρι τῆς μακαρίας σου κεφαλῆς, διείλεγμαι περὶ τούτου πρὸς τὸν θαυμαστὸν Διόσκορον τὸν ἐπίσκοπον, καὶ τοῖς ταχυγράφοις τὰ ἀντίτυπα δοῦναι τῶν τότε γραφέντων ἐπέταξα,

ἵνα εἰ μὴ τύχοιμι ἐς δεξάμενος τὴν ἐπιστολὴν, ἔχοις τὰ ἀναγνοὺς * αἰτῆσαί τε, καὶ πρὸς ἐμὲ διαπέμψασθαι τὰ ἀμοιβαῖα. ἐπὶ πᾶσιν εὔχου περὶ ἐμοῦ. περὶ καταλελειμμένου γὰρ εὔξη, καὶ τοῖς πᾶσιν ἐρήμου, καὶ δεομένου συνεργείας τοιαύτης, ὡς αὐτὸς ὀκνῶ περὶ ἐμαυτοῦ τι φθέγξασθαι πρὸς θεόν. ἅπαντα γὰρ εἰς τοὐναντίον μοι περιέστηκε, διὰ τὴν ῥιψοκίνδυνον τόλμαν, ὅτι ἄνθρωπος ἐν ἁμαρτίαις, ἀπότροφος ἐκκλησίας, ἀγωγὴν ἑτέραν ἠγμένος, θυσιαστηρίων ἡψάμην θεοῦ.

γρ. παραναγνοὺς

Τῷ αὐτῷ.

Ω δέδωκα τὴν ἐπιστολὴν, στέλλεται μὲν ἐπὶ πρᾶξιν, ἣν οὐχ ὅσιον ἐμοὶ διηγήσασθαι· ὅτι δὲ ἀρετὴν ἐκ νέας ἀσκεῖ, τοῦτο καὶ θέμις εἰπεῖν, καὶ παντάπασιν ἀληθές. ὡς μὲν οὖν ἀγαθὸν ἄνδρα, τιμήσεις· ἣν δὲ ἐγράψατο γραφὴν, οἰκείαν εἰμαρμένην πληρούτω. μηδὲ γάρ δικαίου ποτὲ φόνου προστάψοιο.

vt ſi non acceperis epiſtolam, poſſis vtcumque intelligens petere, & ad me mittere litteras reſpondentes. Ad extremum precare pro me, pro deſerto enim precaberis, & rebus omnibus deſtituto, & indigente tali auxilio, nam ipſe non audeo pro me ad Deum loqui. Omnia enim in contrarium mihi cedunt, ob præcipitem audaciam, quod homo in peccatis procul ab eccleſia nutritus, alia inſtitutione inſtitutus altaria Dei attigerim.

Eidem. 68.

Cui dedi epiſtolam proficiſcitur quidem ad actionem quam nefas eſt mihi narrare. Quòd autem virtutem ab ineunte ætate colit, id fas eſt dicere & omnino verum: vt igitur virum bonum coles. Quam autem accuſationem inſtituit, ſuum fatum impleat: Ne enim iuſtam vnquam cædem attingas.

Ad accuſationem capitis.

Eidem. 69.

Enimuero tibi curæ est etiam Pentapolis. Igitur leges publicas epistolas, quòd autem mala plura & maiora coorta sunt, quàm territāt litteræ publicæ, dicentem audies tabellarium. Proficiscitur enim ad auxiliū vt istinc petiturus. Hostes exitum eius non expectauerunt, sed anteuenerunt effusi confertim magno agmine in regionem. Omnia vastata sunt. Omnia perdita sunt. Vrbes adhuc reliquæ sunt: vsque ad tempus quo scribo. Quid autem in crastinum futurum sit Deus nouit. Proinde opus est precib. tuis, precibus, inquam, consuetis exorare Deum. Ego sæpius iam preces priuatas & communes frustra precatus sum. Quid dico frustra? In contrarium mihi cedunt. Talia sunt peccata grauia & multa.

Proclo. 70.

Anno superiore non venerunt mihi litterę à tua sacra manu. Numeraui & istud cum incōmodis, quæ mihi eue-

Τῷ αὐτῷ.

Μέλει γάρ σοι μέλει καὶ Πενταπόλεως· ἐκ τούτου ἐντεύξῃ μὲν ταῖς δημοσίαις ἐπιστολαῖς. ὅτι δὲ κατὰ πλείω καὶ μείζω γέγονεν, ἢ φοβεῖ τὰ γράμματα, λέγοντος ἀκούσῃ τοῦ διακομιστοῦ. στέλλεται μὲν γὰρ ἐπὶ συμμαχίαν, ὡς ἐκεῖθεν αἰτήσων. τὰ δὲ τῶν πολεμίων, οὐδὲ τὴν ἔξοδον αὐτοῦ περιέμεινεν· ἀλλ' ἔφθασαν ἐκχυθέντες ἀθρόοι κατὰ τῆς χώρας· πάντα οἴχεται· πάντα ἀνήρηται· αἱ πόλεις ἔτι λοιπαί. ὃ μέχρις οὗ γράφω, λοιπαί· ὃ δὲ εἰς τὴν ἐπιοῦσαν, θεὸς οἶδε. πρὸς ταῦτα, εὐχῶν δεῖ τῶν σῶν, εὐχῶν λέγω, τῶν ἐθάδων δυσωπεῖν τὸν θεόν. ἐγὼ πολλάκις ἤδη, καὶ τὰ ἴδια, καὶ τὰ κοινά, μάτην ηὐξάμην· τί λέγω μάτην. εἰς τοὐναντίον μοι περιΐσταται. τοιοῦτόν εἰσιν αἱ ἁμαρτίαι, βαρεῖαί τε καὶ πολλαί.

Πρόκλῳ.

Περύσιν οὐχ ἥκει μοι γράμματα παρὰ τῆς ἱερᾶς σου χειρός. ἠρίθμησα καὶ τοῦτο μετὰ τῶν συντυχόντων μοι κατ' ἐκεῖνο

καιροῦ δυσχερῶν· πολλὰ γὰρ ἐπὶ πολλοῖν ἐγὼ πέρεστιν ἐπιδεῖν· ἀλλὰ καὶ ὁ τῆτες χειμὼν, ὅ, τι μοι λοιπὸν ἦν εἰς τὴν ψυχαγωγίαν ἀφείλετο τὸ παιδίον· εἵμαρτο γάρ ἄρα, συνόντι μὲν ὑμῖν, εὐτυχεῖν· ἀπόντι δὲ, χαλεποῦ πειρᾶσθαι τοῦ δαίμονος. γενέσθω δή τις παραμυθία, τὸ δέξασθαι τῆς πατρικῆς σου κεφαλῆς γράμματα, τὸ τιμαλφέστατον ἀπὸ Θρᾴκης ἀγώγιμον.

Πυλαιμένει.

Δίττοι λόγοι λέγονται περὶ σοῦ. τοιγαροῦν ὁμοῦ μὲν ἐπὶ Θρᾴκης, ὁμοῦ δὲ εἰς Ἰσαύρους γράφω, τοῦ περιτυχεῖν σε πάντως μιᾷ γέ τινι τῶν ἐπιστολῶν· ὑπόθεσις δὲ ἀμφοῖν, ἀσπάσασθαι τὴν φιλτάτην κεφαλὴν, Πυλαιμένη τὸν φιλόσοφον. τοῦτο γάρ ἐστι κἂν βούληται, καὶ μὴ βούληται· οὐ γὰρ μήποτε καταχώσῃ τοῦ πεφυκότος, οὐδ' οὐ μὴ σβέσῃ τὸν σπινθῆρα τοῦ θείου πυρός· ἀλλ' ἀνάψει ποτὲ, τῆς μαθηρᾶς ἀγωγῆς ὑπεράνω γινόμενος.

nerunt illo tempore. Multim enim, & multis in rebus superiore anno molestiis affectus sum. Sed & huius anni hyems, qui mihi reliquus erat ad animi oblectationem, ademit puerulum. Decretum enim erat fato quodam dum vobiscum versarer, vt essem fœlix; cùm autem abessem aduersam] vt sentirem fortunam. Sit igitur aliquod leuamentum accipere paterni tui capitis litteras; preciosissimum eorum quæ è Thracia aduehuntur mercimonium.

Pylæmeni. 71.

Duplex de te fama narratur. Proinde simul in Thraciam, simul autem ad Isauros scribo, vt tu incidas prorsus in vnam aliquam epistolam. Argumentum autem ambarum, salutare amicissimum caput Pylæmenem philosophum. Hoc enim est velit molit. Numquam enim superabit ingenium neque extinxerit scintillam diuini ignis: sed accendat aliquando, improbæ vitæ instituto superato.

Episcopis. 72.

Andronicus qui ecclesiam fefellit, veracem eam esse sentiat. Nuper imo nudiustertius in Deum peccauit, sceleratus fuit in homines, quibus de causis occludentes ei nostram Ecclesiam dictauimus litteras ad vestram fraternitatem, nostrum erga eum animum declarantes. Anteuenit missionem, harum litterarum se supplicem simulans & pœnitentiam pollicitus fuit, quam omnes postulabant, vt acciperem, at ego alterius eram sententiæ: videbar enim plane cognouisse illum hominem, ad quodcumque scelus & facinus promptum. Et metuebam & prædicebam quod quauis de caussa ad ingenium rediturus esset. Quem verisimile erat si timeret supplicem ecclesiis multo magis fore, quam si nihil suspectum ei relinqueretur. Ob hæc quidem eo animo eram, vt persisterem in decreto meo, simul de iis quæ ad Deum pertinent magis piè & religiosè, quæque ad

Τοῖς ἐπισκόποις.

Ἀνδρόνικος τὴν ἐκκλησίαν ψευσάμενος, ἀληθευούσης αὐτῆς πειραθήτω. πρῴην οὔπω πάνυ πρῴην, ἥμαρτεν εἰς θεόν· ἐξύβρισεν εἰς ἀνθρώπους· ἐφ' οἷς ἀποκλείσαντες αὐτῷ τὴν παρ' ἡμῖν ἐκκλησίαν, ὑπηρεύσαμεν πρὸς τὴν ὑμετέραν ἀδελφότητα γράμματα, τὴν ἐπ' αὐτῷ γνώμην μηνύοντα. τούτων ἔφθασε τὴν ἐπιστολὴν, ἱκετείαν προσποιησάμενος, καὶ μετάνοιαν ὑποσχόμενος, ἣν ἅπαντες ἠξίουν με δέχεσθαι, πλὴν ἐμοῦ. ἐγὼ γὰρ ἐδόκουν σαφῶς κατανενοηκέναι τὸν ἄνθρωπον, πάντα ῥᾴδιον εἰπεῖν καὶ ποιῆσαι· καὶ προσδεχόμενόν τε καὶ προσυλέγειν, ὡς ἐκ τῆς τυχούσης αἰτίας, εἰς τὴν φύσιν ἐπανελεύσεται· * ὅν γε εἰκὸς ἀτολμότερον ἔσεσθαι προσκεκυφότα ταῖς ἐκκλησίαις πολὺ μᾶλλον, ἢ εἰ μηδὲν ὕποπτον αὐτῷ κατελείπετο. ἀλλὰ ταῦτα μὲν οἷος ἦν εἰκαρτερῆσαι τῷ δόγματι, ὡς ἅμα τά τε πρὸς θεὸν εὐσεβέστερον βουλευσάμενος, καὶ τὰ

γρ. ὅγε
ἀλλ' ὄντε

πρὸς τοὺς πολίτας ὠφελιμώτερον. ἀλλ'
Γρ. πολι- (ἱταμὸν γὰρ ἀντισχεῖν ἕνα * πολλοῖς, παλαιο-
τευομέ- τέροις νεώτερον, προσδεδαπανηκόσι τὸν
νοις βίον ἱερωσύνῃ, τὸν οὔπω πέρυσιν ἡμμένον τοῦ
πράγματος) εἶξα δεομένοις, μήπω πε-
ριπέμψαι τὰ γράμματα, δέξασθαι δὲ ἐπὶ
ῥητοῖς, ἐφ' ᾧ μηκέτι μανεῖται κατὰ τῶν ὁμο-
τίμων· ἐφ' ᾧ νοῦν ἀντὶ πάθους τοῦ βίου
προστήσεται· κἂν μὲν, ἔφην, εἴσω μένῃς
τῶν ὅρων οὓς ἔθου, νῦν τε ὑπερδιξόμεθά
σου τῆς ἁμαρτίας, καὶ τοῦ λοιποῦ συνευξαίμε-
θα· ἀναδυσαμένῳ δὲ τὰ τῆς ὁμολογίας, ἡ
δίκη μενεῖ, καὶ εἰς ἅπαντα δημοσιευθήσεται,
τοσοῦτον ἀνατεθεῖσα χρόνον, ὅσον ἐλέγξαι
σοῦ τὸν τρόπον ἀνεπανόρθωτον. ἔδοξε ταῦτα,
καὶ πρᾶξιν αὐτός τε ἔφη δώσειν καὶ ἡμεῖς λήψε-
σθαι· δέδωκε, καὶ εἰλήφαμεν· ἐπεδαψιλεύ-
σατο ταῖς ὑποθέσεσι τῆς ἀποκηρύξεως. οὔ-
πω τότε δήμευσις ἐτετόλμητο· οὔπω τότε
φόνος ἐνεκεχείρητο. πόσοι διὰ τούτων ἀ-
Γρ. ἀλῆ- λῶνται· πόσοι τῆς πατρῴας ἔτι κτηματικῶν,
ται· π. διὰ τούτων πτωχεύουσιν· ἀλλὰ μικρὰ

ciues vtilius decernens. Verùm inuerecundum est vnum resistere multis, iuniorem senioribus, qui consumpserunt totam vitam in sacerdotio, eum qui nondum anno superiore attigerat sacerdotium. Cessi precantibus, ne rursus circum ecclesias mitterem litteras, & recipi sub conditione, vt ne posthac insaniat in homines paris conditionis, vt mentem perturbationi vitæ suæ præponat. Etsi, inquam ego, maneas intra terminos quos posuisti, nunc precabimur Deum pro peccato tuo. Et in posterum tecum orabimus. Sin autem conditionem asspergeris iustitia te manet quocunque prædicabitur, dilata tandiu donec arguat tuos mores inemendabiles. Placuerunt ista, & experimentum ipse dixit se daturum, & nos recepturos. Dedit, & accepimus. Adiecit ad causas excommunicationis corollarium. Nondum tum proscriptio tentata fuerat, nondum cædes perpetrata. Quot propter hunc extorres sunt? Quot propter hunc, qui locupletes erant, mendici? Verùm parua

ista si cum Magno compararentur, qui optime natus erat, pessime autem interfectus est. Mortuus iacet filius viri clarissimi, omnibus bonis muneribus qui functus est in vrbe, qui consumptus est inuidia quæ in alterum suscipi solet. Petebatur aurum, quod non numerans, verberabatur, & numerãs, quod pecuniæ copiam inuenerat, adhuc verberatur. Cur enim non eius amicis, verùm duci agrum suum vendidit? Deploro quidem ego violatam adolescentiam, & de ipsa vanam spem ciuitatis. Sed quanto ipsius adolescẽtiâ matris senectus miserabilior est; quod è duobus masculis, alter abiit exul ob Andronicum, nec nouit quò terrarum, alterum verò vbi sepelierit, nõ ignorat? O leges vna cum Magno violatas, contra quas præsunt patriæ suæ, contra quas in fœnus sumunt, vt emãt magistratum! Harum igitur rerum Deus alios vult administratores esse. Nobis autem satis est puris esse inter puros, si forte possimus manere inter claustra & septa sacra, & claudere sceleratis sanctissima.

Troïlo.

ταῦτα πρὸς τὸν εὖ μὲν γεγονότα Μά-
γνον, κακῶς δὲ ἀπολόμενον. κεῖται παῖς
ἀνδρὸς λαμπροτάτου, ἅπασι τοῖς οὖσι
λελειτουργηκὼς τῇ πόλει, τοῦ πρὸς ἕτερον
φθόνου γεγονὼς παρανάλωμα· ᾐτεῖτο χρυ-
σίον, ὃ μὴ διδοὺς ἐτύπτετο· καὶ διδοὺς, ὅτι
πόῤῥω ἐξέδρεν, ἐτύπτετο. τί γὰρ, οὐ τοῖς αὐ-
τοῦ φίλοις, ἀλλὰ τῷ στρατηγῷ τὸν ἀγρὸν
ἀπέδοτο. δακρύω μὲν ἐγὼ καὶ τὴν παρα-
νομηθεῖσαν νεότητα, καὶ τὰς ἐπ' αὐτῇ μα-
ταίας ἐλπίδας τῆς πόλεως· ἀλλὰ τῆς ἐ-
κείνου νεότητος, τὸ τῆς μητρὸς γῆρας ἐλεει-
νότερον· ὅτι δυοῖν ἀῤῥένων, ὁ μὲν οἴχεται
φυγὰς δι' Ἀνδρόνικον, καὶ οὐδὲ οἶδεν οἷ γῆς·
τὸν δὲ οἶδεν οἷ γῆς κατορώρυχε. φεῦ τῶν νό-
μων τῶν συναδικουμένων, παρ' οἷς ἄρχουσι
ἑαυτῶν· παρ' οἷς ἐπ' ἀρχῇ δανείζονται χρή-
ματα. τούτων μὲν δίκην ἑτέροις ἐπιμελητὰς ὁ
θεὸς εἶναι βούληται· ἡμῖν δὲ ἀπόχρη καθα-
ρεύειν ἐν καθαροῖς, ἐὰν ἄρα δυνώμεθα μέ-
νειν εἴσω τῶν περιβόλων τοῦ ἱεροῦ, ἀποκλείειν
τε τοῖς ἐναγέσι τὰ πυλαγέσατα.

Τρωΐλῳ.

Σύ γὰρ δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος, οἵ με δεῖ προσαποκλαύσασθαι τὰς τῆς ἐνεσκούσης συμφορᾶς· ἣν τιμήσεις μὲν, διὰ πολίτην φιλόσοφον· ἐλεήσεις δὲ, διὰ τὸ τῆς σαυτοῦ φύσεως ἥμερον, δι' ἀμφότερα δὲ προσοδόσιν ἀνορθῶσαι πειράσῃ· δύνασαι δὲ, ἐπειδὴ σώζει τὰς πόλεις Ἀνθέμιος, καὶ φύσιν ἔχει, καὶ τύχην, καὶ τέχνην· ᾧ πολλῶν ὑπαρξάντων εἰς τοῦτο παρὰ θεοῦ, τὸ μέγιστον ἀγαθὸν οἱ φίλοι, καὶ πάντων Τρωΐλος τὸ μέγιστον. ὅπως οὖν μὴ μόνον τὰς ὄψεις ἐπιβάλῃς, ἀλλὰ καὶ τὸν νοῦν πάνυ σφόδρα προσέξεις τοῖς γράμμασιν, ὧν ἐγὼ πολλὰ κατέσταξα δάκρυα. τί γὰρ δὴ Φοινίκων μὲν οὐκ ἄρχουσι Φοίνικες, οὐδὲ Κοιλοσύρων Κοιλόσυροι, Αἰγύπτιοι δὲ πάσης μᾶλλον, ἢ τῆς ἑαυτῶν· Λίβυες δὲ μόνοι τῆς ἑαυτῶν· ἢ μόνοι Λίβυές εἰσιν ἀνδραποδώτατοι, καὶ χωρεῖν ὁμόσε τοῖς νόμοις ἐγνώκασιν; ὧν ὅτε πλείω καὶ φοβερώτερα τοῖς παραβαίνουσι

γέγονε

Troïlo. 73.

Enimuero tu & philoſophus es & humanus, oportet me apud te deplorare patriæ meæ calamitates: quàm coles quidem ob ciuem philoſophum: miſericordia proſequeris propter naturæ tuæ clementiam: ob vtrumque autem cadentem erigere conaberis: potes autem quoniam ad ſeruandum vrbes Anthemius & naturam habet & fortunam & artem; cui cum multa ſuppetant à Deo ad id adiumenta, præſtantiſſimum bonum amici, atque in illis Troilus, maximus eſt. Vide igitur vt non ſolum oculos adiicias, verùm etiam mentem valde attendas litteris, quas multis lachrymis perfudi. Cur enim Phœnices non imperant Phœnicibus, neque Cœloſyri Cœloſyris, Ægyptij autem magis cuiuis quàm ſuæ patriæ: Afri autem ſoli ſuæ? Soli Afri ſunt omnium fortiſſimi, & obuiam ire legibus decreuerunt? quarum quanto plures & magis formidãdæ violantib.

pœnæ fuerunt, tanto tum magis improbæ naturæ in ipsas irruerunt, Oportebat enim funditus euerti Pentapolim, quæ est ad Cyrenas. Sed fames & bellum nondum omne quod oportebat consumpserunt, verùm morantur & pedetentim perdunt. Igitur quod erat reliquum ad celeriter conficiendum, insuper reperimus. Atqui id est quod vetus oraculum vaticinatum est de obitu Pentapolis. Hoc ex patribus & auis
« audiuimus, quòd perdet Afros ma-
« gistratuum prauitas. Hoc enim ipsum est oraculi frustum. Verùm si & fato decretum est istud, dilationem aliquam mali cogitate. Etenim medicorum ars mori hominem, quandoquidem ea conditione natus est, in totum non impedit, adfert tamen moram aliquam necessitati. Tale aliquid petimus ab arte imperatrice, opem ferat naturæ contra morbum; nō autem acceleret exitum. Ne, obsecro, ne eueniat temporibus Anthemij magni vt prouincia Romana

γέγονε τἀπιτίμια, τότε μᾶλλον αὖθις αἱ πονηραὶ φύσεις ἐνεκυβίσθησαν. ἤδη μὲν ἐχρῆν ἀνῃρῆσθαι τὴν περὶ Κυρήνην Πεντάπολιν· ὁ δὲ λιμὸς καὶ ὁ πόλεμος, οὔπω πάντας ὅσοι ἤδη κατῴκουσαν, ἀλλὰ διατελοῦσι καὶ κατὰ μικρὸν ἀπολλύουσιν. ἐκείνου δὲ λοιπὸν εἰς τὸ ταχὺ κατειργάσθαι προσεξευρήκαμεν. καίτοι τοῦτ' ἔστιν, ὃ τὸ παλαίφατον λόγιον ἐπεχρησμῴδησε τῇ τελευτῇ Πενταπόλεως· πατέρων αὐτὸ καὶ πάππων ἠκούσαμεν, ὅτι φθερεῖ τὰ Λιβύων ἡγεμόνων κακότης. αὐτὸ γὰρ τοῦτό ἐστι τοῦ χρησμοῦ τὸ τεμάχιον. ἀλλ' εἰ καὶ πέπρωται τοῦτο, ἀναβολήν τινα τοῦ κακοῦ μηχανήσασθε. καὶ γὰρ ἡ τῶν ἰατρῶν τέχνη, τὸ μὲν ἀποθανεῖν ἄνθρωπον, ἐπεὶ φύσις ἐστὶ, οὐ καθάπαξ οὐ κωλύει· ἐμποιεῖ δέ τινα διατριβὴν τοῦ χρεών· ὅμοιόν τι αἰτοῦμεν καὶ παρὰ τῆς τέχνης τῆς ἀρχικῆς. βοηθησάτω τῇ φύσει κατὰ τῆς νόσου· μὴ μέν τοι κατασπευδέτω τὸν ὄλεθρον· μή, δέομαι, μὴ γένοιτο τῶν Ἀνθεμίου τοῦ μεγάλου καιρῶν, ἐπ' εὐτυχίαν Ῥωμαϊκὴν

ἐκ μέσης ἀνῃρῆσθαι τῆς διοικήσεως. εἰπὲ πρὸς αὐτὸν, εἰπὲ πρὸς τὸν λόγον. οὐ σὺ καταπεμφθῆναι τὸν νόμον γέγονας αἴτιος, ἐπὶ τοῖς πάλαι τὸν πρόσφατον, ὃς ἀνατείνεται πολλὰ καὶ χαλεπὰ τοῖς μνηστεύουσι τὴν τῆς ἐνεσχούσης ἀρχήν; πῶς οὖν οὐ νεμεσᾷς τοῖς φιλοτιμουμένοις ἐπὶ σοῦ διαρρηγνύναι τὰ σὰ πολιτεύματα. εἰ μὲν οὖν οὐ λανθάνουσιν, ἀδικεῖς· εἰ δὲ λανθάνουσιν, ἀμελεῖς. χρῆν δὲ οὐχὶ τὸν ἄνδρα τὸν ἡγεμονικώτατον· ἀλλ' ἐνὶ τούτῳ μάλιστα προσέχειν τὸν νοῦν, τοὺς ὑπάρξοντας ὡς βελτίστους αἱρεῖσθαι. θεία γὰρ αὕτη καὶ μεγαλοπρεπὴς ἡ πρόνοια, πρὸς ἣν δαπανᾶται φροντὶς εἰς ἐκλογὴν ἀνδρὸς ἀγαθοῦ. ἀλλ' ἐν τούτῳ γάρ ἐστιν ἔθνους ὁλοκλήρου πεποίηται φροντίδα. τούτων οὖν εὐθὺς ἀπεγνωκέναι προσήκει τῶν ἐνδημουμένων τοῖς νόμοις, παρ' οἷς ἄρχουσι τῆς ἑαυτῶν· παρ' οἷς ἐφ' ἡμῖν ὥσπερ ἐπὶ κτήμασι διανείζονται χρήματα. στήσατε τὸ κακόν. ἄρχοντας ἡμῖν νομιμωτέρους ἐκπέμψατε, ἀγνοοῦντας, ἀγνοουμένους,

tollatur è medio Imperio. Dicito ei, dicito inquam. obſecro te per litteras, te auctorem non fuiſſe, vt mitteretur lex recens præter veteres leges, quæ multa & grauia minitatur ambientibus patriæ Imperium? Quomodo igitur non ſuccenſes iis qui conantur te ſuperſtite perrumpere tuas leges? Si igitur te non fallunt, iniurius es, ſin fallunt, negligens; minime autem oportet virum ad imperandum accommodatiſſimum: verùm huic vni maximè attendere animum, vt eos, qui futuri ſunt præfecti, optimos eligat. Diuina enim illa & magnifica eſt prouidentia, in qua conſumitur ſollicitudo ad electionem viri boni. Enimuero in hoc licet totius gentis ſuſcipere curam. Hos igitur ſtatim improbare licet, qui calcant leges, contra quas præſunt regioni ſuæ, contra quas propter nos tanquam poſſeſſiones in fœnus ſumunt pecunias: inhibete hoc malum. Magiſtratus nobis magis legitimos mittite, qui nos ignorent & qui à nobis ignorentur,

quiq; non affectum in iudicando, sed verum & naturam sequantur. Nam nunc quidem ista fiunt. Adnauigat dominus qui contrariæ factionis nuper erat in repub. & quam in Repub. habet dissensionem & tribunali exercet. Quàm multa autem alia suppullulant mala. In calumniam vocantur conuiuia, & mulierculæ tribuitur beneficium, ciuis calamitas, & accusator subornatus, qui nisi accuset alicuius sceleris, condemnatur, nisi antequam condemnetur, quæ condemnatis euenire solent, sustinuerit. Vidimus ex hoc fuisse vinctum, quod non eum qui paulo ante optimum magistratũ deposuerat, peculatus insimularet. Immo verò eum non vidimus, sed interdictum erat accedere, tamquam ad impios aut Imperatoris hostes, donec perfecerunt quidquid libuit: & solem vidit certa conditione homo, quia Gennadiũ accusauit. Verùm mater nostra Pentapolis à Gẽnadio Syro, multa & multis in reb. commoda sensit. Omniũq; maximũ, quod rationi & suadelę imperiũ cõmittẽdo,

ταῖς φύσεσιν, οὐ τοῖς περὶ ἕκαστον πάθεσι τὰ πράγματα κρίνοντας· ὡς τὰ νῦν ταῦτα κατάπλεως δεσπότης ὁ πρῴην ἀντιπολιτευόμενος, καὶ τὴν ἐν πολιτείᾳ διαφορὰν ἀπὸ τοῦ βήματος ἀγωνίζεται. ὅσα δὲ ἄλλα παρεβλάστανε κακά. συκοφαντεῖται συμπόσια, καὶ γυναικὶ δίδοται χάρις, ἡ τοῦ πολίτου συμφορά· καὶ κατήγορος ἐκκέλευστος· ὃς δ' ἂν μὴ γράφηται προσδεχόμενον, ἑάλωκεν, εἰ μὴ καὶ πρὶν ἁλῶναι, τὰ τῶν ἑαλωκότων ὑπέμεινεν. ἐθεασάμεθα δεσμώτην ἀπὸ τούτου γενόμενον, ὅτι μὴ τὸν ἀρχὴν παυσάμενον τῆς ἀρίστης ἀρχῆς, ἐπὶ κλοπῇ δημοσίων ἐδίωκε· μᾶλλον δὲ τοῦτον οὐδὲ τεθεάμεθα, ἀλλ' ἀπείρητο προσιέναι καθάπερ τοῖς ἐναγέσιν, ἢ τοῖς βασιλέως ἐχθροῖς, ἕως διεπράξατο πλὴν ὅσον ἐβούλετο· καὶ τὸν ἥλιον εἶδεν ἐπὶ ῥητοῖς ἄνθρωπος, ἐφ' ᾧ Γεννάδιον ἔγραψεν. ἀλλ' ἥγε ἡμετέρα Πεντάπολις Γενναδίου μὲν τοῦ Σύρου, πολλὰ ἐπὶ πολλοῖς ὤνατο· καὶ τὸ μέγιστον, ὅτι καὶ λόγῳ καὶ πειθοῖ τὴν ἀρχὴν ἐπιτρέψας,

ἔλαθεν ἡμᾶς τῶν ἀπηνεστάτων τε καὶ ὀνομαστοτάτων ἐπὶ σκληρότητι, πλείονα χρήματα ταῖς δημοσίαις ψήφοις εἰσενέγκων· ἐφ' οἷς οὐδεὶς ἐδάκρυσεν· ἐφ' οἷς οὐδεὶς ἀπέδοτο τὸν ἀγρόν. ἐκείνην ἄν τις εἰσφορὰν εὐσεβῆ δικαίως ἐκάλεσεν, ἣν οὐχ ὕβρεις ἢ μάστιξ ἠνάγκασε. τὰ δὲ περὶ τῶν πολιτῶν, φεῦ τῆς μνήμης τῶν παυσαμένων. φεῦ τῆς πείρας τῶν ὁρωμένων. οὐδὲν οὖν ἀξιοῦμεν καινόν, ἀλλὰ παρὰ τῶν νόμων Ἀνθέμιον ἱκετεύομεν· παρὰ τῶν νόμων τὸν τούτων φύλακα, ὧν ἄξιον μὲν αἰδεῖσθαι τὴν ἀρχαιότητα. νόμου γὰρ δὴ καὶ τοῦτο σεμνότης. Εἰ δέ τῳ δοκεῖ, τῶν διαταγμάτων τὰ νεώτερα, τὴν ὡς ἂν εἴποι τις ἔμψυχον ἔτι βασιλείαν ἐπιγραφόμεθα.

Πυλαιμένει.

Ἔπεμψά σοι τὸν λόγον ἀτελικουργῆ, τῆς ἀκριβοῦς ἐργασίας, ὃν ἂν μὲν ἐπαινέσῃ Πυλαιμένης ὁ κριτικώτατος τῶν ἀκοῶν, αὐτὸ τοῦτο τῇ διαδοχῇ τοῦ χρόνου συνέστησεν·

latuerit nos maiorem, quàm homines illi ſæuiſſimi & nobiliſſimi per ſeueritatem, pecuniæ vim eum publicis rationibus intuliſſe. ob quas pecunias nemo fleuit, ob quas nullus vendidit agrum. Illam collationem piam merito quis vocaſſet, quàm non contumelia aut flagellum imperauit. Quātum ad ea quę ad ciues pertinēt? ęheu recordationem eorum qui magiſtratu abierunt! Eheu ſenſum acerbum eorum quæ in magiſtratu cernuntur. Nihil igitur noui poſtulamus, ſed pro legibus Anthemium rogamus. Pro legibus, inquam, earum cuſtodem, quarum par eſt antiquitatem venerari. Legi ſanè ea eſt dignitati. Si autem ei videtur, conſtitutiones recentiores ſanciat, quæ, vt quiſpiam diceret, adhuc viuum imperium in titulo præ ſe ferunt.

Pylæmeni. 47.

Miſi tibi orationem Atticè ſcriptā, & eximij artificij, quam ſi laudauerit Pylęmenes, ſolertiſſima ad iudicandū auris, hoc ipſo poſteritati commēda-

uerit. Quòd si nihil serium videatur, fas est scilicet ludere ludicra.

Nicandro. 75.

Epigramma tuum inclytum. Quidni non illustre sit, quod magnus laudauit Nicander? Aureæ hæc imago est Veneris vel Stratonices; scito plane, quod & in meam sororem factum est tunc à me, cum ex versu intellexeris. Ipsi charissimæ sororum mearum, quam & imagine dignatus sum, & versu Theodosius Imperatoris scutarius, maritus est; quòd quidem ad tẽpus attinet & aulicam assiduitatem, etiam præfectus fuisset iam pridem. Verùm ambitiones plus possunt quã anni. Sic igitur vtilitati ei sis, & in litibus si quæ sint ei apud Anthemium. vtilitatem capiat à magno Nicandro.

Theophilo. 76.

Olbiatis (hi autem populi sunt vicani) opus fuit electione Episcopi, cùm beatissimus pater Athamas cum

εἰ δὲ μηδὲν φαίνεται σπουδαῖον, ἔξεστι δήπου παίζειν τὰ παίγνια.

Νικάνδρῳ.

Τοὐπίγραμμά σου τὸ κλεινόν· πῶς γὰρ οὐ κλεινὸν, ὅπερ ὁ μέγας ἐπῄνεσε Νίκανδρος· τῆς χρυσῆς εἰκὼν ἡ Κύπριδος ἢ Στρατονίκης· ἐπίστασαι πάντως, ὅτι καὶ εἰς ἐμὴν ἀδελφὴν ἐποιήθη παρ' ἐμοῦ τότε, παρὰ τοῦ στίχου μαθών· ταύτῃ τῇ φιλτάτῃ μου τὴν ἀδελφὴν, ἣν καὶ τῆς εἰκόνος ἠξίωσα καὶ τοῦ στίχου, Θεοδόσιος ὁ βασιλέως ὑπασπιστὴς, σύνοικος, ἕνεκα μὲν τοῦ χρόνου καὶ τῆς ἐν στρατείᾳ προεδρίας, κἂν ἐπροεστάτη δὲ πάλαι· αἱ δὲ σπουδαὶ πλέον δύνανται τὴν ἐνιαυτῶν. ταύτῃ τε οὖν ὄφελος αὐτοῦ γένοιο, κἂν ταῖς δίκαις, εἴ τινες εἰσὶν αὐτῷ πρὸς Ἀνθέμιον· οἰέσθω δέ τι τοῦ μεγάλου Νικάνδρου.

Θεοφίλῳ.

Ὀλβιάταις (οὗτοι δὲ δῆμός εἰσι καμήτης) ἐδέησεν αἱρέσεως ἐπισκόπου τοῦ μακαριωτάτου πατρὸς Ἀθάμαντος τοῦ

μακρῷ βίῳ τὴν ἱερωσύνην συγκαταλύσαντος. ἐπεκαλέσαντο δὴ κἀμὲ, κοινωνὸν αὐτοῖς γενέσθαι τοῦ σκέμματος· καὶ συνήσθην μὲν ἀνδράσιν ἐκ πολλῶν καὶ πάντων ἀγαθῶν ποιουμένοις τὴν αἵρεσιν· πολὺ δὲ πλέον Ἀντωνίῳ συνήσθην τῆς καλοκαγαθίας, ὅτι καὶ καλῶν ἔδοξεν εἶναι κάλλιων. ἐπὶ γὰρ τοῦτον ἡ πάνδημος ψῆφος ἠνέχθη. προστεθέντων δὲ καὶ δυοῖν εὐλαβεστάτων ἐπισκόπων τῇ γνώμῃ τοῦ πλήθους, οἷς συνετέθραπτο, καὶ ὧν τῇ θατέρου χειρὶ πρεσβύτερος ἀπεδέδεικτο, ἐτύγχανον μὲν οὐδ᾽ αὐτὸς ἀγνοῶν πάνυ τὸν Ἀντώνιον· ἀλλὰ δι᾽ ὅσων αὐτὸν ἔγνων λόγων καὶ πράξεων, διὰ τοσούτων ἐπῄνεσα· προσθεὶς δὲ οἷς ἠπιστάμην καλοῖς, ἃ παρ᾽ ἤκουσα, φέρω κἀγὼ τὴν ἐμαυτοῦ ψῆφον ἐπὶ τὸν ἄνδρα. καὶ γένοιτ᾽ ἂν μοι βουλομένῳ κοινωνὸν αὐτὸν εἰς τὴν ὁμότιμον ἱερωσύνην προσδέξασθαι. ἑνὸς δέων ἔτι δεῖ, τοῦ κυριωτάτου μέν τοι, τῆς ἱερᾶς σου χειρός. τούτου μὲν ὀλβιώταις δεῖ· ἐμοὶ δὲ εὐχῶν.

longa vita sacerdotium vnà finisset. Vocarunt & me vt illis socius essem deliberationis,& gauisus sum quidem illis viris ex multis & omnibus bonis electionem instituentibus. Multo autem magis Antonio congratulatus sum ob probitatem, quod & visus est probior esse probis: in eum enim vniuersa populi suffragia delata sunt. Adiunctis autem etiam duobus piissimis Episcopis sententiæ populi, quibus cum vixerat, & quorum alterius manu presbyter designatus fuerat. Nec ipse quidem admodum Antonium ignorabam,& quibus eum potui sermonib. & factis laudaui. Collatis igitur bonis quæ in eo esse nouerã, cum iis quæ tum audiui, defero etiam meum illi viro suffragium: atque lubens consortem in paris dignitatis sacerdotium recipero. Vno igitur adhuc opus est, qui tamen præcipuus est, scilicet sacra tua manu. Ea quidem Olbiatæ opus habent, ego autem precibus.

Anysio. 79.

Nolunt simul esse lumen & tenebræ: verùm lege naturæ se mutuo fugiunt. Reuersi à tuo comitatu Nicandrum offendimus.

Eidem. 78.

Nihil fuerit Pentapoli vtilius, quàm vt anteponantur strenui & viri & milites Vnnigardæ omnibus aliis militibus, non tantum illis qui vernaculi dicuntur, verùm quicumque venerunt aliquando in hæc loca, auxilij causa. Hi enim alij milites, quamuis multo plures, numquam congressi sunt cum paucioribus hostibus audacter. Illi verò bis aut ter cum viris numero supra mille, cùm essent duntaxat quadraginta Deo & te duce in acie steterunt, & victorias maximas, & pulcherrimas reportarunt. Qui ipsis in conspectum venerunt ex barbaris, partim cæsi, partim fugati: edita loca & sublimia regionis adhuc oberrant,

vt

Ἀνυσίῳ.

Οὐκ ἐθέλει παραμένειν ἀλλήλοις τὸ φῶς καὶ τὸ σκότος· ἀλλὰ νόμῳ φύσεως παρίσταται· ἐπανελθόντες ἀπὸ τῆς σῆς πομπῆς, Ἀνδρόνικον κατελάβομεν.

Τῷ αὐτῷ.

Οὐδὲν ἂν γένοιτο Πενταπόλει λυσιτελέστερον, τοῦ τοὺς ἀγαθοὺς καὶ ἄνδρας καὶ στρατιώτας Οὐννιγάρδας προτετιμῆσθαι πάντων στρατιωτῶν, οὐ τῶν ἐγχωρίων λεγομένων μόνον, ἀλλὰ καὶ ὅσοι πώποτε κατὰ συμμαχίαν εἰς τούσδε τοὺς τόπους ἀφίκοντο. ἐκεῖνοι μὲν γὰρ οὐδεπώποτε παραπλήσιοι, ἐλάττοσι τῶν πολεμίων μετὰ τοῦ θάρρους συνηνέχθησαν. οὗτοι δὲ δὶς ἤδη καὶ τρὶς πρὸς ἄνδρας ὑπὲρ χιλίους τὸν ἀριθμὸν, μόνοι τετταράκοντα μετὰ τοῦ θεοῦ καὶ σοῦ στρατηγοῦ παρετάξαντο, καὶ νίκας τὰς μεγίστας καὶ καλλίστας ἀνείλοντο· τῶν δὲ εἰς ὄψιν αὖθις ἐλθόντων βαρβάρων, τοὺς μὲν ἀπολωλεκότες, τοὺς δὲ ἀπεληλακότες, πάντα μετέωρα τῆς χώρας ἐπὶ περινοσοῦσι,

καὶ τὰς εἰσβολὰς τῶν πολεμίων φυλάττουσιν, ὥσπερ σκύλακες αὐλῆς προπηδήσαντες, ἐφ' ᾧ θηρίον οὐκ αἰσθάνεται τῇ ποίμνῃ· ἀλλ' ἡμεῖς αἰσχυνόμεθα τοὺς ἀριστέας, ἐν αὐτοῖς τοῖς ὑπὲρ ἡμῶν ἱδρῶσι δακρύοντας. οἷα γὰρ καὶ γεγράφασι πρὸς ἡμᾶς, ἐγὼ μὲν οὐκ ἀπαθῶς ἀναγινωσκομένων ἀκήκοα· ἀξιῶ δὲ μηδὲ σὲ τὴν ἱκεσίαν αὐτῶν παριδεῖν· δέονται γὰρ δὴ σοῦ μὲν δι' ἡμῶν, βασιλέως δὲ διὰ σοῦ δέησιν, ἣν εἰκὸς ἡμᾶς ἦν, ἐκείνων σιωπώντων ποιήσασθαι, μὴ καταλελῦσθαι τοὺς ἄνδρας ἀριθμοῖς ἐγχωρίοις. ἄχρηστοι γὰρ ἂν ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο, τῆς βασιλικῆς δωρεᾶς ἀφῃρημένοι, εἰ μήτε ἵππων ἕξουσι διαδοχήν, μήτε ὅπλων παρασκευήν, μήτε δαπάνην ἀγωνισταῖς ἀνδράσιν ἐρχομένην· μὴ σύ γε ὦ μετ' αὐτῶν ἀριστεῦ, μὴ περιίδῃς τοὺς στρατιώτας εἰς ἀτιμοτέραν τάξιν χωροῦντας· ἀλλ' οὗτοί τε μενόντων ἄσυλοι τῶν γερῶν ἐν βεβαίῳ τῆς προτέρας ἀξίας· ὃ γένοιτ' ἄν, εἰ διὰ τῆς σῆς ἀναφορᾶς ὁ φιλανθρωπότατος ἡμῶν βασι-

& ingressus hostium obseruant; quẽadmodum canes ante stabula prosilientes, vt fera non irruat in gregem. Sed nos pudet, quòd fortissimi viri in ipsis sudoribus nostri causa lachrymentur. Quæ enim & scripserunt ad nos, ego quidem non sine magno doloris sensu cùm legerentur audiui. Postulo autem ne tu negligas eorum preces. Petunt enim à te per nos, ab Imperatore autem per te, petitionem quam par erat nos, etiam tacentibus illis, facere, adscribantur illi viri cohortibus vernaculis. Inutiles enim sibi & nobis essent, Imperatoriis donis spoliati, si neque equorum habituri sint successionem, neque armorum apparationem nec stipendium, bellatoribus viris sufficiens. Ne, obsecro, tu, qui cum illis fortiter fecisti, ne sinas commilitones in ordinem minorem & inferioris conditionis ire, verùm maneant non spoliati commodis, in statu primæ dignitatis. Quòd fiet si, se referente, humanissimus noster

rex intelligat, quantæ vtilitati fuerint Pentapolitanæ ciuitati. Et pétito ab Imperatore noſtra cauſa in tuis litteris petitionem aliam, vt viri centũ ſexaginta iis quadraginta addantur. Iuuante Deo quis non dixerit ducentos Vnnigardas, & animo & manu his quadraginta ſimiles (quorũ vel maximè laudamus lenitatem animi, te duce) ſatis fore ad gerendum aduerſus Parthicum Imperatorem bellum. Et quid opus eſt cohortibus multis, & qui fit quotãnis ſumptu circa eos qui hîc ſunt ad exercitus? Manibus opus eſt in bello, & non multis nominibus.

Anaſtaſio. 79.

Nihil fui vtilis Euagrio presbytero. Neque cuiquam alteri eorum qui iniuria afficiuntur: magiſtratum enim gerit apud nos Berronicenſis Andronicus, ſceleratus homo, diram & conſceleratam mentem, & linguam habens, qui ſi me cõtemnit,

βασιλεὺς μάθοι, πόσον ὄφελος ἐγένοντο Πενταπόλει· καὶ δεήθητι βασιλέως ὑπὲρ ἡμῶν, ἐν τοῖς σαυτοῦ γράμμασι δέησιν ἑτέραν, ἄνδρας ἑκατὸν ἑξήκοντα τοῖς τετταράκοντα τούτοις προστεθῆναι. μετὰ τοῦ θεοῦ, τίς οὐκ ἂν ἀποφήναιτο διακοσίοις Οὐννιγάρδας καὶ γνώμην καὶ χεῖρα τούτοις παραπλησίους (ὧν οὐχ ἥκιστα ἐπαινουμένου τὸ πρᾶον τῆς γνώμης, τοῦ δὲ στρατηγοῦντος) ἀρκέσειν εἰς τὸ διαπολεμηθῆναι βασιλεῖ τὸν Ἀσυελιανὸν πόλεμον. καὶ τί δεῖ καταλόγων πολλῶν, καὶ τῆς φοιτώσης κατ' ἐνιαυτὸν δαπάνης, τοῖς ἐνθάδε στρατεύμασι. χρεῶν δεῖ τοῦ πολέμου, καὶ οὐκ ὀνομάτων πολλῶν.

Ἀναστασίῳ.

Οὐδὲν ἐγὼ γέγονα χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ· οὐδὲ γὰρ οὐδ' ἑτέρῳ τινὶ τῶν ἀδικουμένων. ἄρχει γὰρ περὶ ἡμῖν ὁ Βερρονικεὺς Ἀνδρόνικος, ἀποφρὰς ἄνθρωπος, παλαμναίαν ἔχων καὶ γνώμην, καὶ γλῶτταν, ὃς εἰ μὴ ἐμοῦ καταφρονεῖ,

πρᾶγμα οὐδέν· ἀλλ' αἰσχύνεσθαί μοι δοκεῖ καὶ τὰ θεῖα τιμῆσαι· οὗτος ἀσεβεῖ τῇ κεφαλῇ τὸν οὐρανόν. νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν, σχῆμα Πενταπόλει πένθιμον περιτέθεικε, δακτυλήθρας, καὶ ποδοστράβας ἐξευρών, καὶ ξένα ἄττα κολαστήρια κατ' οὐδενὸς τῶν ἀδικούντων. πάνυ γὰρ τοι νῦν ἔξεστι τῷ βουλομένῳ ἀδικεῖν· κατὰ δὲ τῶν συντελούντων· ὑπὲρ τῶν οὐσιῶν καὶ τῶν ἄλλων ὁτιοῦν ὀφειλόντων. δεινὸς γὰρ ἀνὴρ ὑποθέσεις ἐξευρίσκειν, τῇ τε ἑαυτοῦ καὶ τῇ Θέαντος φύσει πρεπούσας· ὃν ἐπὶ τῶν δεσμωτῶν ὄντα, ταῖς ἀπαιτήσεσιν ἔταξε τοῦ στρατιωτικοῦ χρυσίου τοῦ καλουμένου τιρωνικοῦ, καὶ συνῆψε τὰ αὐλαναῖα· καὶ ἀεί τι καινὸν ἐπὶ παλαιῷ κακόν, ἐφ' ᾧ κατὰ φυλὰς καὶ δήμους αἰ-
γρ. οὐδὲ κίζεσθαι. οὐ* γὰρ ἔξεστιν οὐδὲ τοῖς ἔχουσι καὶ
γὰρ ἐ. πλουτοῦσιν ἀμαστιγώτοις ἀναχωρῆσαι· ἀλλ' ἕως ὁ παῖς οἴκαδε βαδίζει τὸ χρυσίον οἴσων, ὁ δεσπότης ἠλόηται, καὶ περὶ ἐνίους τῶν δακτύλων ἐγλύετο. ὅτῳ δὲ περιφράσεως ἀπορῇ δυναμένης αὐτὸν ἐστιάσαι,

nihil incommodi: verùm pudore affici mihi videtur, quod Deum colat. Ille ferit capite cœlum: per ſacrum tuum & perquam optabile caput, habitum Pentapoli lugubrem circundedit, digitalibus, & pedicis excogitatis, & inuſitatis quibuſdam tormentis, non in improbum aliquem; valde enim nunc licet ei, qui vult, iniuſte agere: verùm contra eòs qui tributa pendunt, & debent aliquid pro bonis & fortunis. Eſt enim vir ſollers ad excogitandas cauſas aptas & ſuæ & Thoantis naturæ, quem præpoſitum vinculis, in exactionibus collocauit auri militaris, quod vocatur * tironicum, & coniunxit aulanæa. Et ſemper aliquid mali noui ad vetus adiungit, vt tributim & populatim contumelias faciat. non enim licet habentibus & diuitibus ſine verberibus diſcedere. Sed interea dum ſeruus domum vadit vt adferat aurũ, herus pulſatus eſt, & amiſit aliquem digitorum. Cùm autem occaſione caret, quæ poſſit eum oblectare, Ma-

* *quia ſoluebatur tironibus.*

ximinus & Clinias substituuntur, in illis duobus indulget affectui. Sed mihi videtur cùm talis sit malis geniis curæ esse, qui volunt laudari & felices esse sceleratissimos animos, quibus instrumentis vti possunt ad communes calamitates: ex his comparant ei gloriam, vt generoso viro. Quamquam quomodo consentaneũ est qui nimis exaltauit elatum: & humilem depressit? Quo magistratum gerente omnes modesti & mansuetis morib. ignominiosi, & in Caricorum mancipiorum numero fuerunt. Possunt autem apud eum soli Zenas & Iulius. Zenas, qui exegit anno superiore duplex tributum, qui minitatur se fratrem meum Anastasium ementitæ legationis accusaturum & condemnaturum. Iste tamen Zenas eo volente potest, Iulius autem inuito & plorante: & in nullum ita vehemens, vt contra Andronicum fuit. Inclamans enim eum bis & ter, & cõuitiis illis, quæ è plaustro iactari solẽt, ei maledicens, & omnia minitatus ipsi quæ dici à me quantiuis æstimassem,

Μαξιμῖνος καὶ Κληδίας ἔφεδροι· ἐν ἐκείνοις
γνωρίζεται τὰ πάθη. ἀλλά μοι δοκεῖ τοιοῦτος
ὢν, πονηρῶν δαιμόνων προνοίας τετυχηκέναι, εἰ
βούλονται μὲν ἐπαγγεῖλαι καὶ εὐτυχεῖν * τὰς πα- γρ. παλα
λαμναιοτάτας ψυχάς, αἷς ὀργάνοις δύνανται μναίας
χρῆσθαι πρὸς τὰς κοινὰς συμφοράς. ἀπὸ ταύτας
τούτων οὕτω παρασκευάζουσιν αὐτῷ δόξαν ὡς ψ.
ἀνδρὶ γυναίῳ. καί τοι πῶς εὔλογον, ὅστις ὑ-
περύψωσε τὸν ὑψηλόν, καὶ τὸν ταπεινὸν ἐπα-
πείνωσεν· ἐφ' οὗ πᾶς μὲν μέτριος καὶ πρᾶος
τὸν τρόπον, ἐν Καρὸς μοίρᾳ καὶ ἄτιμος· δύ-
νανται δὲ μόνοι Ζηνᾶς καὶ Ἰούλιος· Ζηνᾶς
ὁ πράξας πέρυσι τοὺς διπλοῦς φόρους, ὃς
ἀπειλεῖ τὸν ἐμὸν ἀδελφὸν Ἀνασάσιον, πα-
ρὰ πρεσβείας καὶ διώξεσθαι, καὶ αἱρήσειν. ἔστι
μὲν τοι, ἑκόντος αὐτοῦ δύναται· Ἰούλιος δὲ
ἄκοντός τε καὶ κλάοντος. καὶ κατ' οὐδενός οὕ-
τως, ὡς κατ' Ἀνδρονίκου γέγονεν ἰσχυρό-
τερος. ἐγκραγὼν γὰρ αὐτῷ δίς που καὶ τρίς,
καὶ τοῖς ἐξ ἁμάξης λοιδορησάμενος, καὶ πάν-
τα ἐπανατεινάμενος, ἅπερ ἂν εἰρῆσθαι
καὶ περὶ ἐμοῦ τοῦ παντὸς δὴ ἐπιμηνσάμην,

ἀπέδειξε τὸ κάθαρμα μὲν ἀντὶ λέοντος· καὶ ἐξ ἐκείνου χρῆται καθάπερ ἀνδραπόδῳ, παρέσσοι ἀδεῶς οὐδὲ ἐν ταῖς γωνίαις ἀποψιθυρίζειν κατὰ τοῦ δεσπότου τολμῶν (τοῦτο δὲ δήπουθεν ἔξεστι τοῖς οἰκέταις ποιεῖν) Ἀνδρόνικος δὲ
γρ. οὐ τ. ἐνδεῖ* τοῦτο. τὸ γὰρ ἀλόγιστον ἀνδρεῖον μὲν οὐδαμοῦ· παρὰ δὲ τοὺς καιροὺς, δειλόν τε καὶ θρασὺ γίνεται, τουτέστιν ἁπανταχοῦ πονηρόν. ὁ θαυμάσιος Ἥρων, ἀξίως αὐτοῦ πρὸς ἡμᾶς ἐρεῖ τὰ περὶ αὐτοῦ, ἅ γε δὴ διαγγέλλεται. διετέθη γὰρ οὕτως ὑπ' αὐτοῦ τοῦ συνεῖναι τῇ μοχθηρίᾳ τοῦ ἀνθρώπου, καὶ καθ' ἡμέραν ἀποῤῥήγνυσθαι, καὶ οἷς ἤκουσε δεινοῖς, καὶ οἷς ἔπασχεν, ὡς καὶ μόλις ἐλευθερωθεὶς τῆς θανατηφόρου συνουσίας, δύσελπις εἶναι τὴν ἑαυτοῦ ζωὴν καταλήψεσθαι· καὶ οὔπω τότε Θόας, ἀπὸ τῆς ἐνδοξοτάτης ἀποδημίας παρῆν. νυνὶ γὰρ ἐντός ἐστιν ὁ πᾶσιν αὐτὸν τοῖς εὐγενέσιν ἐπιτειχίσας Δεκέλειαν, τὸ ἀπόῤῥητον τῶν ὑπάρχων διακομίσας ἐνύπνιον, ὃ βούλεται μὲν τὴν ἐνθάδε τεθνάναι τινάς· βούλεται δὲ δεδέσθαι τινάς· καὶ δέδενται παρ' ἡμῖν ἄνθρωποι,

reddidit purgamentum illud, murem pro leone. Et ex illo tempore vtitur vt ſeruo, præterquam quòd libere ne in angulis quidem ſuſurrare tãquam herus audet. (Iſtud autem ſeruis vtique licet facere.) Andronico ne iſtud quidem. Quòd enim temerarium, nuſquam eſt forte: in temporibus verò & timidum & audax efficitur, hoc autem ſemper eſt improbum. Eximius Eron, vt meretur, vobis narrabit illius facta ſi ſuperſtes ſit. Sic enim eſt affectus ex eo quod verſatus ſit cum hominis improbitate, quódque quotidie diſtractus ſit & malis quæ audiuit, & quæ perpeſſus eſt, vt liberatus lethifera conſuetudine vix ſperet ſuam ſe vitam recuperaturum. Necdum Thoas à nobili profectione aderat. Nunc enim is eſt qui muniuit contra omnes nobiles Deceliam, arcano præfectorum allato ſomnio, quod vult noſtrorum hominum mori nonnullos, vult vinctos eſſe nonnullos. Et vincti ſunt apud nos homines,

ob somnium illud arcanum. Alij nulla de causa, quæ appareat, moriuntur. Etenim si nondum mortui sunt, attamen paulo post morientur. Quòd enim ad verbera attinet, mortui sunt, verùm ob corporum robur viuunt ad hunc vsque diem in quo has litteras mitto. Atqui saluus non erat, ait, magnus Anthemius, neque desinet febricitare Romanorum præfectus, nisi Maximinus & Clinias moriătur. ista Thoas tacite iactat. Proinde neque tributum conferre sinit Maximinum. Sed arcet omnes Andronicus qui emunt Leucippi bona. Propositum enim est non implere publicum ærarium, sed populi Romani præfectos sanos esse. Qui vocato domum Thoante solo, sophista, ait, solo præsente, declararunt ei somnium. Et portus clausi sunt, quemadmodum iurat Thoas, donec ipse nauigans anteuerteret & Andronico narraret arcanum, ne aliquis eorum qui digni erant pro Anthemij vita mori effugiens falleret.

διὰ τὸ ἐνύπνιον τὸ ἀπόρρητον· οἱ δὲ ἀπ' οὐδεμιᾶς φαινομένης αἰτίας ἀποθνήσκουσι· καὶ γὰρ εἰ μηδέπω τεθνήκασιν, ἀλλ' αὐτίκα τεθνήξονται. τὸ μὲν γὰρ ἐπὶ ταῖς μάστιξιν, ἀπολώλασι· τὸ δὲ ἐπὶ τῇ τοῦ σώματος ἰσχύϊ, ζῶσιν ἔτι μέχρι ταύτης τῆς ἡμέρας, ἐν ᾗ πέμπω τὰ γράμματα· ἀλλ' οὐχ ὑγιανεῖ, φησὶν, ὁ μέγας Ἀνθέμιος, οὐδὲ παύσεται πυρέττων ὁ Ῥωμαίων ὕπαρχος, ἂν μὴ Μαξιμῖνος καὶ Κλεινίας ἀπόλωνται. ταῦτα Θόας ἡσυχῇ θρυλλεῖ. διὰ τοῦτο οὐδὲ εἰσφέροντος ἀνέχεται Μαξιμίνου. ἀλλ' ἀνασοβεῖ πάντας ὁ Ανδρόνικος, τοὺς ὠνουμένους τὰ Λευκίππου· πρόκειται γὰρ οὐ τὸ πληρωθῆναι τὰ δημόσια, ἀλλὰ τοὺς ὑπάρχους ὑγιαίνειν· οἵτινες εἰσκληθέντος οἴκοι Θόαντος μόνου, τοῦ σοφιστοῦ, φησὶ, μόνου παρόντος ἐξενηνόχασι πρὸς αὐτὸν τὸ ἐνύπνιον· καὶ οἱ λιμένες ἐκλείσθησαν, ὅσα γε δὴ Θόας ὄμνυσιν, ἕως αὐτὸς ἐκπλεύσας φθάσῃ, καὶ πρὸς Ἀνδρόνικον ἐξενέγκῃ τὸ ἀπόρρητον, ἵνα μὴ λάθῃ τις διαδρὰς τῶν ἀξίων ἀντὶ τῆς Ἀνθεμίου τεθνάναι ψυχῆς·

εἶτα ἀφ' ὧν ἕτερος ὄναρ ὁρᾷ, μᾶλλον δὲ ἰδεῖν λέγεται, Πεντάπολις ὕπαρ πέπραγε πονήρως. Ἀνδρόνικος γὰρ ὁ τὰ τοιαῦτα πιστευθεὶς, καὶ εὐεργέτης τῆς εὐτυχοῦς τῶν ὑπάρχων οἰκίας ἐσόμενος, μαίνεται ἐκπάγλως
„ πίσυνος Θόαντι, οὐδέ τι οἶδε τίει ἀνέρας
„ οὐδὲ θεούς. κρατερὴ δὲ ἑ λύσσα δέδυκεν. ἐν τούτοις τῇ πατρίδι τῶν πραγμάτων ὄντων, οὐκ ἐδέησεν Εὐαγρίῳ μάντεως εἰς προαγόρευσιν τῶν πονηρῶν ἀπαλλάξειν εἰς τὸ δικαστήριον ἀπελθόντι· ἀλλ' αὐτὸς Ἀνδρόνικος ἄντικρυς, οὐ πρὸς τοῦτον, οὐδὲ πρὸς ἐκεῖνον, ἀλλὰ πρὸς αὐτὸν Εὐάγριον ἐξήγγειλε τὴν γνώμην τὴν ἑαυτοῦ, καὶ ἔχεσθαι τῆς λειτουργίας, ἐθελοντὴν ἐκέλευσεν, ἐὰν σωφρονῇ. πάντως γὰρ ἀποφανεῖσθαι τὴν καταδικάζουσαν. ἀπολελόγημαι δὴ καὶ θεῷ, καὶ τῷ θείῳ Διοσκουρίδῃ, καὶ πᾶσιν ἀνθρώποις, ὡς ἔγωγε ἀτιμότερος ἐξ ἐντιμοτέρου γέγονα, τάγε ἀνθρώπινα· ἀσθενέστερος δὲ ἐξ ἰσχυροτέρου· καὶ Ἀνδρόνικος ἀπάντων μὲν ἡμῶν, τὴν δύναμιν ἐθεράπευσε, δι' ἣν οὐ γέγονε δὶς ἐπ'

Deinde ob ea], quæ alius in ſomniis videt, immo potius vidiſſe dicitur, Pentapolis reuera calamitoſa eſt & miſera. Andronicus enim cui iſta ſunt commiſſa,& beneficus fortunatæ præfectorum domus futurus, inſanit immaniter fidem habens Thoanti; neque nouit colere Deos, neque homines: vehemens enim rabies „
eum ſubiit. Cùm patriæ noſtræ res „
in hoc ſint ſtatu, non opus fuit Euagrio vate: ad prædictionem, quod male diſceſſurus eſſet, in iudicium abiens. Verùm ipſo Andronicus plane, non huic vel illi, ſed ipſi Euagrio declarauit animum ſuum, & fungi munere ſponte iuſſit, ſi ſaperet. Se enim pronunciaturum dixit condemnatoriam ſententiam. Purgaui me & Deo, & diuino Dioſcuridi, & omnibus hominibus: quod quidem ignominioſior ex honorato, imbecillior è robuſtiore factus ſim: ita ſunt res humanæ, & Andronicus, mei abſentis, potentiam ſoluit, ob quam non venit bis ad Ale-

xandriam, cùm in eum ius prehensionis esset. Talem verò erga me præsentem se gerit per sacrum caput, vt pöstquam mihi accedit amittere è pueris meis charissimum me vita eduxissem illo dolore & casu superatus. Scis enim quod mollis sum hac in re plus quàm decet. Nunc verò non ratione affectum vici, verùm Andronicus me in diuersum circumegit, & in communibus calamitatibus vt mentem haberem, fecit. Et fuerunt mihi calamitates, consolationes calamitatum ad se me trahentes, & dolore dolorem expellentes, ita cum dolore mixta ob filium exortum dolorem. Nouisti quod mihi prędicta erat mors in præscriptũ anni diẽ. Et fuit dies ille quo Episcopus factus sum. Sensi mutationẽ vitę, qui ad hãc vsq; diẽ in ea versatus, & honore humano & omni iucũditate vltra eorum quẽcũq; qui vnquã philosophati sunt, perfrui solitus non minus ob extrema bona, quam ob apparatum animi, nunc his omnib. bonis spoliatum me sentio. At quod maximũ est malorum,

Ἀλεξανδρείας ἀγάλματος· παρόντι δὲ οὕτω χρῆται ἡ τὴν ἱερὰν ὑμῶν κεφαλήν, ὡς ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ * φίλτατον, κἂν ἐξήγαγον ἐμαυτὸν κρα- γρ. τοῦ φ.
τηθεὶς ὑπὸ τοῦ πάθους· οἶδα γὰρ ὅτι θῆλυς εἰμι περὶ τοῦτο πέρα τοῦ δέοντος. νῦν δὲ οὐ λογισμῷ τοῦ πάθους ἐκράτησα, ἀλλ' Ἀνδρόνικος ἀντιπαρεισήγαγε, καὶ πρὸς τὰς κοινὰς συμφορὰς τὸν νοῦν ἔχειν ἐποίησε· καὶ γεγόνασί μοι συμφοραὶ, παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθει πάθος ἐκκρούουσαι, ὀργὴ συμμιγὴς λύπη τῇ ἐπὶ τῷ παιδίῳ λύπην. οἶδα ὅτι μοι μαντευτὸς ἦν θάνατος εἰς κυρίαν τοῦ ἔτους ἡμέραν· ὃ γέγονεν ἐκείνη καθ' ἣν ἱερασάμην. ᾐσθόμην μεταβολῆς βίου, ὃς ἄχρι νῦν ἐμπανηγυρείσας αὐτῷ, καὶ ἡμῆς ἀνθεσπίνης καὶ πάσης γλυκυθυμίας παρ' ὅντινοῦν τῶν πώποτε πεφιλοσοφηκότων ἀπολελαυκώς, οὐχ ἧττον διὰ τὰ θύραθεν, ἢ διὰ τὴν παρασκευὴν τῆς ψυχῆς, ἅμα πάντων ἀφῃρημένος αἰσθάνομαι. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν,

xandriam, cùm in eum ius prehensionis esset. Talem verò erga me præsentem se gerit per sacrum caput, vt pöstquam mihi accedit amittere è pueris meis charissimum me vita eduxissem illo dolore & casu superatus. Scis enim quod mollis sum hac in re plus quàm decet. Nunc verò non ratione affectum vici, verùm Andronicus me in diuersum circumegit, & in communibus calamitatibus vt mentem haberem, fecit. Et fuerunt mihi calamitates, consolationes calamitatum ad se me trahentes, & dolore dolorem expellentes, ita cum dolore mixta ob filium exortum dolorem. Nouisti quod mihi prędicta erat mors in præscriptũ anni diẽ. Et fuit dies ille quo Episcopus factus sum. Sensi mutationẽ vitę, qui ad hãc vsq; diẽ in ea versatus, & honore humano & omni iucũditate vltra eorum quẽcũq; qui vnquã philosophati sunt, perfrui solitus non minus ob extrema bona, quam ob apparatum animi, nunc his omnib. bonis spoliatum me sentio. At quod maximũ est malo-

Ἀλεξανδρείας ἀγώγιμος· παρόντι δὲ οὕτω χρῆται τὴν ἱερὰν ὑμῶν κεφαλὴν, ὡς ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ * φίλτατον, κἂν ἐξήγαγον ἐμαυτὸν κρα- γρ. τὸ φ.
τηθεὶς ὑπὸ τοῦ πάθους· οἶδα γὰρ ὅτι θῆλύς εἰμι περὶ τοῦτο πέρα τοῦ δέοντος. νῦν δὲ οὐ λογισμῷ τοῦ πάθους ἐκράτησα, ἀλλ' Ἀνδρόνικος ἀντιπαρεισήγαγε, καὶ πρὸς ταῖς κοιναῖς συμφοραῖς τὸν νοῦν ἔχειν ἐποίησε· καὶ γεγόνασί μοι συμφοραὶ, παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθει πάθος ἐκκρούουσαι, ὀργὴ συμμιγὴς λύπῃ τῇ ἐπὶ τῷ παιδίῳ λύπην. οἶδα ὅτι μοι μαντευτὸς ὁ θάνατος εἰς κυρίαν τοῦ ἔτους ἡμέραν· ὃ γέγονεν ἐκείνη καθ' ἣν ἱερασάμην. ᾐσθόμην μεταβολῆς βίου, ὃς ἄγει νῦν ἐμπανηγυρείσας αὐτῷ, καὶ τιμῆς ἀνθρωπίνης καὶ πάσης γλυκυθυμίας παρ' ὁντινοῦν τῶν πώποτε πεφιλοσοφηκότων ἀπολελαυκὼς, οὐχ ἧττον διὰ τὰ θύραθεν, ἢ διὰ τὴν παρασκευὴν τῆς ψυχῆς, ἅμα πάντων ἀφῃρημένος αἰσθάνομαι. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν,

ὅ μοι καὶ δύσελπιν τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκετείαις θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος, ὃς τὴν μὲν οἰκίαν κακῶς ὁρῶ πράττουσαν, τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι. τὸ πᾶσιν ἐγκείμενος ἐφ' ᾧ προσανακλάεσθαι, καὶ (τὰ κατ' αὐτὸν) ἕκαστον ὀλοφύρεσθαι, προσθήκην ἔχον Ἀνδρόνικον τὸν κολοφῶνα τῶν κακῶν, δι' ὃν οὐδὲ ἀκαρπῆ καρποῦμαι τὴν συντροφόν μοι σχολήν· ἀλλ' ἐμὲ δεῖ μηδὲν ὄφελος ὄντα μηδενί, πάντων προσιόντων, καὶ τὴν ἀσθένειαν ἡμῶν, διελεγχόντων, ἀνέχεσθαι. πρὸς ταῦτα δέομαι, πάνυ σφόδρα δέομαι ἀμφοῖν μὲν ἡμῶν, διαφερόντως δὲ σοῦ τῆς φίλης μοι κεφαλῆς, ἀδελφὲ Ἀναστάσιε· σὺ γὰρ δὴ φήμην ἔχεις προστάτου ἀνδρὸς λυσιτελοῦντος· εἴ τις σοι δύναμις πάρεστιν· ὑπὲρ Συνεσίου γὰρ μᾶλλον ἢ ὑπὲρ Ἀνδρονίκου δικαιότερος ἂν εἴης αὐτῇ χρώμενος· ἀπάλλαξον κατηφείας Πτολεμαΐδα τὴν λαχοῦσάν με πόλιν, οὐκ ἐμοῦ γ' ἐθέλοντος· οἶδεν ὁ πάντα ὁρῶν ὀφθαλμὸς

τοῦ

rum quod mihi male ſperantem vitā reddit, non ſolitus repulſam ferre in dei precationibus, nunc primum noui me fruſtra in precibus eſſe qui domum infelicem video, patriam autem calamitoſam habitare cogor: Et omnibus expoſitus vt apud me lamententur, & quiſque ſuam vicem deploret. Acceſſionem habui Andronicum ſummam & faſtigium malorum, propter quem nulla ex parte fruor mihi contubernali otio. Verùm oportet me, qui neminem iuuare poſſum omnes ad me accedentes, imbecillitatem noſtram coarguentes, ferre. Quare precor impenſiſſime, precor vos vtroſque, præcipuè autem te charum meum caput, frater Anaſtaſi; tu enim diceris patronus eſſe viri rabioſi, ſi quę facultates tibi adſunt, pro Syneſio enim potius quam pro Andronico his vti debes, liberato iſto dedecore Ptolemaïdem vrbem cuius ſum Epiſcopus: me tamen refragāte. Nouit enim qui omnia videt oculus

Dei. Nescio quamobrem luo tantum pœnarum, & si cui, ait, Deorum inuidiosi antea eramus, satis puniti sumus. verùm istam vocem decet eloqui, & propter Maximinum & propter Cliniam, quorum, vt mihi videtur, etiam qui sæuissimus esset dæmonum misertus fuisset. Excipiantur ex hoc sermone Thoas & Andronicus qui duo soli diaboli immites.

Theophilo. 80.

Equidem paratus eram paterno tuo imperio, & manum & animum ministrum præbere, verùm, vt arbitror, Ampelius nũquam deliberasset melius de commodis suis, quàm Nicæus quomodo remoueretur à bonis suis. Neque enim plane scio cur prius discesserit, quamobrem redierit, qua de causa rursus peregre absit. Quo enim pacto, cùm eum neque viderim, neque renunciatum certi quidquam de eo fuerit, sed epistolam sacræ tuæ manus quispiam attulerit, & hanc quam scribo petierit, cùm iam

τοῦ θεοῦ· οὐκ οἶδα ὑπό τινων* ἐκτίνω τοσαύτας δίκας, καὶ εἴπω, φησί, θεῶν ἐπίφθονοι πρότερον ἦμεν, ἀποχρώντως τετιμωρήμεθα. ἀλλὰ ταύτην γε τὴν φωνὴν ἄξιον εἰπεῖν καὶ ὑπὸ Μαξιμίνου καὶ ὑπὸ Κλεινίου, οἷς, ἐμοὶ δοκεῖν, ἂν καὶ ὅστις ὠμότατος δαιμόνων ἠλέησεν· ἐξηρήσθων τοῦ λόγου Θόας τε καὶ Ἀνδρόνικος, οἱ μόνοι δαιμόνων ἀμείλικτοι.

* Θεοφίλῳ.

Ἐγὼ μὲν οἷος ἦν τῷ πατρικῷ προστάγματι καὶ χεῖρα καὶ γνώμην ὑπηρέτην εἰσενεγκεῖν· ἀλλ' οὐκ ἂν οἶμαι κάλλιον Ἀμπέλιος ἐσκέψατο περὶ τῆς ἑαυτοῦ λεσιτελουώτων, ἢ Νίκαιος ὑπό του πῶς ἀλλοτριωθείη τῆς ἑαυτοῦ. οὔτε γὰρ ἐφ' οἷς πρότερον ἀπῆρεν οἶδα καλῶς, οὔτ' ἐπὶ τίσιν ἐπανῆλθεν, οὔτ' ἐπὶ τίσιν αὖθις ἀποδημεῖ. πῶς γὰρ, ὃν οὔτ' εἶδον, οὔτε περὶ αὐτοῦ τι σαφὲς ἀπηγγέλλετο, ἀλλὰ τὴν ἐπιστολὴν τῆς ἱερᾶς σου χειρὸς, ἕτερός τις ἐκόμισε, καὶ ταύτην αἰτήτησεν, ὡς ἤδη

Νικαίου λύσιμον τὸ φρυμμήσιον. καὶ ἐγὼ μὲν οὐκ εἶδον αὐτόν· οὐδ' ἡγεμὼν οἶδεν, ἢ ἤκουσεν. ἀλλὰ κἀκεῖνος οὔτ' εἶδεν, οὔτ' ἤκουσε. πῶς οὖν ἐστὶ Νίκαιον νικᾷν τὸ φρούριον ἐν ἀγρῷ διαιτώμενον· ἀλλ' ἀντὶ τούτου πολλὰ κἀγαθὰ καὶ ὅσα φέρουσιν ὧραι τοῖς γεωργοῖς ἔχοντα· πλείω δ' ἂν ἦν, εἰ τῶν μητρῴων ἐκράτησε.

Τῇ φιλοσόφῳ.

Εἰ καὶ μὴ πάντα ὁ δαίμων ἀφελέσθαι μου δύναται, ἀλλὰ βούλεται ὅσα γε δύναται, ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκεν· ἀλλὰ τό γε προαιρεῖσθαι τὰ βέλτιστα καὶ τίθεσθαι τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται. μὴ γὰρ δὴ καὶ τῆς γνώμης ἡμῶν καταγνοίη. μισῶ μὲν οὖν ἀδικίαν· ἔξεστι γάρ· κωλύειν δὲ βουλοίμην μέν, ἀλλὰ καὶ τοῦτο τῶν ἀφαιρεθέντων ἐστί· καὶ οἴχεται καὶ τοῦτο πρὸ τῶν παιδίων. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν· καὶ σύ με ἐκάλεις ἀλλότριον ἀγαθὸν εἰς ἑτέρους δαπανώντα

rudentem soluisset Nicæus? atque ego quidem non vidi eum: præses autem nouit aut audiuit. Verùm ille neque vidit neque audiuit. Quo igitur pacto Nicæum licet vincere ruri extra fines degentem: verùm loco huius victoriæ habentem multa & bona, & quæ ferunt anni tempora agricolis. Sed multo plura haberet si etiam materna bona possideret.

Philosophæ. 81.

Quamuis non omnia mihi fortuna adimere possit, tamen vult quæcumque potest, quæ multis iisque bonis liberis orbatum me reddidit. Verùm quin sequar ea quæ optima sunt, & faueam iis qui læduntur, nō auferet. nunquam iuris quidquam habebit in animum nostrum. Itaque odi iniquitatem. Id quidem in me situm est. Prohibere quidem iniuriam velim, verùm hoc ex iis est etiam quæ mihi sunt adempta. Et istud etiam periit ante liberos meos. Olim & aliquando strenui & fortes erant Milesij, fuit cū etiā amicis vtilis essem: & tu me appellare solebas alienū bonum, consu-

mentem in aliis reuerentiam & honorem, quem mihi habebāt qui multum poterant, & erant illi meæ manus. Nunc autem ab omnibus desertus relinquor, præterquam si quid potes. Nam & te numero bonum inspoliatum, vna cum virtute. Tu itaq; semper potes, atque vtinam possis, rectè potentia vti: Nicæus autem & Philolaus honesti adolescentes & propinqui vt redeant bonis suis restituti, iis omnibus, qui tua colunt, & priuatis & magistratibus, curæ sit.

Fratri. 82.

Ecquem verò, ecquem iis qui sunt qualis es tu, conuenit admirationi esse? Modestum, moribus compositum, disciplinæ studiosum, prorsus Deo fretum; denique qui talis est, qualis Gerontius. Habes igitur virum mea cum epistola, quo familiariter vsus, dices non improbum me laudatorem fuisse.

Chrysæ. 83.

Nō quod liberorū meorū cognat⁹ est

τὴν παρὰ τῶν μέγα δυναμένων αἰδῶ, καὶ ἦσαν ἐκεῖνοι χεῖρες ἐμαί· νυνὶ δὲ ἁπάντων ἔρημος ὑπολείπομαι, πλὴν εἴ τι σὺ δύνῃ· καὶ γὰρ δὴ καὶ σὲ μετὰ τῆς ἀρετῆς, ἀγαθὸν ἄσυλον ἀριθμῶ. σὺ μὲν οὖν ἀεὶ καὶ δύνῃ καὶ δύναιο κάλλιστα χρώμενον τῷ δύνασθαι. Νίκαιος δὲ καὶ Φιλόλαος κἀγαθοὶ νεανίαι καὶ συγγενεῖς, ὅπως ἐπανέλθοιεν τῶν ἰδίων γενόμενοι κύριοι, πᾶσι μελέτω τοῖς τὰ σὰ τιμῶσι καὶ ἰδιώταις καὶ ἄρχουσι.

Τῷ ἀδελφῷ.

Τίνα μὲν τοι τίνα, παρὰ τῶν οἷος αὐτὸς εἶ, προσήκει θαυμάζεσθαι· τὸν σώφρονα, τὸν ἐμμελῆ, τὸν παιδείας ἑταῖρον, τὸν προσανέχοντα τῷ θεῷ, καθάπαξ, τὸν οἷός ἐστι Γερόντιος. ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς, ᾧ χρησάμενος, ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Χρυσῇ.

Οὐχ ὅτι μοι παιδίων συγγενής ἐστιν ὁ θαυ-

μαςὸς Γερόντιος, συνίςημι τῷ νεανίσκῳ τῇ φιλίᾳ τῇ σῇ· καὶ τοῦτο μὲν γὰρ δὴ ὅτι πρέπων ἐστὶ τοῦ χρυσοῦ Χρύσου τοῖς ἔπεσι, εἰ δὲ μέν τι καὶ ψυχρὸν εἰπεῖν καὶ γοργιαῖον. πάντως μὲν τοι μᾶλλον ἐστὶ ἀληθὲς εἰπεῖν, σε τῆ ἁπάσης ἀρετῆς εἴσω, καὶ τὸν διδόντα σοὶ τὴν ἐπιστολὴν, ἀξιώτατον ἀπολαύειν σου τῆς συνουσίας.

Τῷ ἀδελφῷ.

Μηκὸς ἐπιστολῆς, ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ' ὁ θαυμαστὸς Γερόντιος, οἶδε μὲν ὅσα κἀγώ· εἰ δὲ μὴ πρὸς τὸ ψεῦδος ἀνοικείως εἶχε, διηγήσατο ἂν καὶ ὧν ἠπίστατο πλείονα, περὶ φιλεῖν ἐμὲ, καὶ τὸ γλῶτταν ἔχειν ἀκόλουθον τῇ γνώμῃ, ὃν ἂν ἴδῃς ἡδέως, εἶδες ὡς ἐγὼ βούλομαι.

Τῷ αὐτῷ.

Δεδέξο μετὰ τῆς ἐμψύχου καὶ τὴν ἄψυχον ἐπιστολήν· μετὰ τοῦ θαυμαστοῦ Γεροντίου, ταῦτα τὰ γράμματα, νόμῳ

Gerontius eximius, commendo adolescẽtem amicitiæ tuæ. Nã & istud est. Sed quia conuenit aurei Chrysæ moribus, si quidem oportet me quidpiam & ineptum & Gorgiæ sophistæ more dicere. Omnibus tamen verius est dicere te omni virtute præditum, & eum, qui reddit epistolam hanc tibi, dignissimum esse qui tua consuetudine vtatur.

Fratri. 84.

Prolixitas epistolæ alienum esse ostendit eum, qui illam fert. Verùm eximius Gerontius, nouit quæcumque ego. Quòd si à mendacio non abhorreret, narraret etiam plura quàm nouit, quia amat me & quia habet linguam voluntati parem, quem si lubenter videris, videris vt cupio.

Eidem. 85.

Accipe cum viua etiam inanimatam epistolam, cùm admirando Gerontio has litteras potius scriptas

à me cõsuetudine te salutandi, quàm necessitate aliqua. Quòd enim perpetuo tui memores simus, adolescens iste narrauerit tibi clarius, quàm infinitæ epistolæ.

Eidem. 86.

Dedi ad tuum sacrum & desideratissimum caput admirando Gerontio epistolam primi congressus præbituram occasionem. Tum enim fortasse magnifacies eum mea caussa. Postquam verò periculum eius feceris, alium quendam propter eum.

Eidem. 87.

Cui dedi Epistolam quæstor est & frumentator cohortis Dalmatarum. Omnes autem Dalmatas æque ac liberos meos honoro. Sunt enim populus ciuitatis, cuius sum episcopus. licebat hæc sola tibi indicare. Tuæ autẽ sunt partes te humanum meis præbere iuxta ac tuis.

τὸ πλέον ἢ τῇ χρείᾳ τοῦ προσήκειν σε γνώμενα. ὅτι γὰρ ἡμεῖς συζῶμεν τῇ περὶ σοῦ μνήμῃ, μυρίων ἐπιστολῶν μακρῷ μεγαλοφωνότερον ὁ νεανίσκος ἂν διηγήσαιτο.

Τῷ αὐτῷ.

Ἐπιστολὴν ἐπέθηκα τῷ θαυμαστῷ Γεροντίῳ πρὸς τὴν ἱερὰν σου καὶ περιπόθητον κεφαλὴν τῆς προφάτης ἐντεύξεως παρέξουσαν πρόφασιν. τότε μὲν γὰρ αὐτὸν ἴσως δι᾽ ἐμὲ τιμήσεις· μετὰ δὲ τὴν πεῖραν, ἕτερόν τινα δι᾽ αὐτόν.

Τῷ αὐτῷ.

Ὧι δέδωκα τὴν ἐπιστολὴν, ταμίας ἐστὶ
καὶ σιτοδότης τοῦ Δαλματῶν τάγματος· πολύ-
τας δ᾽ ἐγὼ τοὺς Δαλμάτας, ἴσα καὶ τοὺς υἱέας
τιμῶ*. δῆμος γάρ εἰσι λαχούσης με πό- γρ. Φι-
λεως· μόνα οὖν ταῦτα μηνύσαι πρὸς σέ. λαν.
σὸν δὲ τοῖς ἐμοῖς ὡς σαυτοῦ χρήσασθαι.

Πυλαιμένει.

Ἥκων ἀπὸ Θρᾴκης ἐπιστολὰς κομισάμενος, ἠνώχλησα τῷ φακέλῳ τῶν γραμμάτων, εἴπου τις εἴη τὸ κλεινὸν ἐπιγεγραμμένον Πυλαιμένους ὄνομα· ὡς οὐκ ἄξιον ἑτέρῳ βιβλίῳ παρεντυχεῖν· ἀλλ' ἦν οὐδὲν οὐδαμοῦ. Εἰ μὲν οὖν τυγχάνεις ἀποδημῶν, ἀλλ' ἐπανέλθοις ταχέως τε καὶ καλῶς· εἰ δ' ἐπεδήμεις ἡνίκα πάντες οἱ γνώριμοι Ζωσίμῳ τὰς ἐπιστολὰς ἐπεδίδοσαν, τοῦτ' ἂν εἴη τὸ παράδοξον, εἴ τις ἐγένετο περὶ ἐμὲ Πυλαιμένους μνημονικώτερος.

Τῷ ἀδελφῷ.

Τέως μὲν ἐπεπράττομεν εὖ· εἶθ' ὥσπερ ῥεύματος ἀνθυπενεχθέντος, καὶ τὰ κοινὰ λυπεῖ, καὶ τὰ ἴδια. ζῶ τε γὰρ οὐκ ἰδιώτης ἐν χώρᾳ πολεμουμένῃ· κἀμὲ δεῖ κλάειν ἀεὶ τὴν ἑκάστου συμφοράν· καὶ τοῦ μηνὸς πολλάκις ἐπὶ τὰς ἐπάλξεις πηδῶν,

Pylæmeni. 88.

Acceptis vernis Epiſtolis è Thracia, diu peruolutaui faſciculum litterarũ, ſi forte aliqua eſſet, quæ inclytum Pylæmenis nomen inſcriptum haberet: quod iniquum ducebam aliam epiſtolam ante tuam legere. Verùm nulla erat vſquam. Si igitur peregre abes: vtinam ſanè reuertaris & celeriter bonis auibus præſens eras, quando omnes familiares Soſimo epiſtolas tradebant, iſtud admirandum fuerit, quod quis mei magis memor fuerit, quam Pylæmenes.

Fratri. 89.

Antea quidem fœlices eramus. Deinde tanquam fluctu aduerſario coorto & publica, mihi moleſtię ſunt, & priuata. Viuo etenim non priuatã agens vitam in regione, bello infeſta, & oportet me ſemper lamentari vniuſcuiuſque calamitatem, & in mẽſe ſæpenumero inſilire in propugna-

culum, tanquam conductum ad militandum, non ad precandum. Ex tribus masculis vnus mihi relictus est: tu verò si secundo cursu nauigas, & viuis iucundè, non vsquequaque fortuna nobis molesta est,*

Theophilo. 90.

Abiit ius ab hominibus. Andronicus & prius iniuriosus erat, & nunc iniuria afficitur. At mores ecclesiæ sunt vt humilem euehat, excelsum autem deprimat. Hunc igitur Andronicum oderat quidem ob scelera quæ patrabat; proinde hanc ei irrogauit pœnam: miseretur autem nunc eius, propterea quod versatus est in iis pœnis quæ execrationem superant: quia propter ipsum offendimus eos qui nunc in potestate constituti sunt. Sed iniquum est, si nunquam simus cum beatis, cum plorantibus vt collachrymemur semper. Nos itaque liberauimus eum hoc suggesto tristi: & reddidimus ei calamitates multo minores. At si pietas tua dignata fuerit eũ cura & sollicitudine, istud euidẽti

ὡς ἐφ' ᾧ γε συστρατεύσομαι μεμαθωμένον, οὐκ ἐφ' ᾧ γε προσεύξομαι. τελῶν ἀρρένων ἓν ἔτι μοι λείπεται· σὺ δὲ ἐὰν ἐξ οὐσίας πλέῃς καὶ ζῇς ἡδέως, οὐ πάντα ἡμᾶς ὁ δαίμων λυπεῖ.

Θεοφίλῳ.

Οἴχεται τὸ δίκαιον ἐξ ἀνθρώπων. Ἀνδρόνικος καὶ πρότερον ἠδίκει, καὶ νῦν ἀδικεῖται. τὸ δὲ τῆς ἐκκλησίας ἦθος, οἶδεν ὑψῶσαι μὲν ταπεινόν, ταπεινῶσαι δὲ ὑψηλόν. τοῦτον δὴ τὸν Ἀνδρόνικον, ἐμίσει μὲν ἐφ' οἷς ἐποίει· διὸ καὶ προῄρητο μέχρι τούτων ἐλθεῖν· ἐλεεῖ δὲ νῦν, ἐφ' οἷς ἤδη τοῖς ὑπὲρ κατάραν ὡμίλησεν· ὅτι καὶ τοὺς νῦν ἐν δυνάμει δι' αὐτὸν ἐλυπήσαμεν. ἀλλὰ δίκαιον εἰ μηδέποτε μετὰ τῶν εὐημερούντων γνωσόμεθα· τοῖς δὲ κλάουσιν ἀεὶ συνδακρύσομεν. ἡμεῖς τε οὖν ἐνταῦθα γυμνοῦ βήματος αὐτὸν ἐξειλόμεθα, καὶ τἆλλα ἐλάττους αὐτῷ παρὰ πολὺ τὰς συμφορὰς ἐποιήσαμεν· κἂν ἡ σὴ θεοσέβεια φροντίδος αὐτὸν ἀξιώσῃ, τοῦτο μέγιστον

ἐγὼ τεκμήριον δέξομαι, τοῦ μὴ παντάπασι τὸν ἄνθρωπον ἀπογνωσθῆναι παρὰ θεοῦ.

Τρωΐλῳ.

Πάλαι μὲν ἀπραγμονεστέρας ἐποιούμην τὰς πρὸς τοὺς ἑταίρους ἐντεύξεις καὶ πέμπων καὶ γράφων. ἔζων γὰρ ἐπὶ τῶν βιβλίων, ἔξω που τινὰ ἀσύντακτος πάσῃ πόλει καὶ πολιτείᾳ. νυνὶ δὲ (ἐπέταξε γὰρ ὁ θεὸς εἰς ἀποδεδειγμένον χωρίον οἰκεῖν, καὶ αὐτὸν ἔχειν ἐν τῇ πόλει τινὰ τάξιν) καὶ ζῶ οὐκ ἐν διηριθμημένοις ἀνθρώποις· βουλοίμην ἂν οὖν ὄφελος εἶναι τοῖς συλλαχοῦσι, καὶ ποιεῖν ἀγαθόν, ὅ,τι δυναίμην, ἕκαστον ἰδίᾳ, καὶ τὴν πόλιν κοινῇ, ἵν' ὁρῴην τε καὶ ὁρῴμην ἡδέως παρὰ τῶν ὡς ἂν εἴποι τις συμπλόων τοῦ βίου. ἔτι τοίνυν Μαρτύριος ὄναιτο τῆς δι' αὐτὸν γινομένης ἐπιστολῆς, ἴσθι μοι χαρισάμενος ἐν ἀνδρὶ συνδιημερεύοντι, καὶ ναὶ μὰ τοὺς λόγους, τἀμά καὶ σὰ παιδικά, πολλάκις εἰς τὸ συνεῖναι

erit argumento mihi, non omnimodis eum hominem reprobatum esse à Deo.

Troilo. 91.

Olim quidem instituebam colloquia à negotiis aliena cum amicis, & præsens & scribens (viuebam enim in libris, quodammodo nullius ciuitatis & Reipub. pars.) nunc autem, imperauit Deus vt habitem certum locum & habeam aliquam in ciuitate ordinem, & viuam inter homines, quorum sunt censa capita. Optarem igitur vtilis esse consortibus meis & bene mereri pro viribus, & de vnoquoque priuatim & de ciuitate publice. Vt & videam & videar libenter ab illis qui vna in vita nauigant vt aliquis diceret. Si igitur Martyrius aliquam vtilitatem accipiat ex epistola ob ipsum facta, scito te mihi gratũ fecisse in homine totos dies mecum traducente, & per eloquentiam; meas & tuas delitias; sæpenumero vt

mecum ſit, etiam magnam partem noctis impendente.

Fratri. 92.

Malum non exiguum conſequar ex ruſticatione, exhibens plane habitum morum ruſticorum, mihi crede, etiam in extremis Libyæ finibus.

Heſychio. 93.

Athenienſes Themiſtoclem Neoclis filium laudarunt, quod etſi ciuilis potentiæ amator eſſet vltra quemcũque eorum qui eius ætate vixerunt, auerſatus ſit tamen omnem magiſtratum, in quo non poſſet melius mereri de amicis quam de peregrinis. Tuam autem quia ignorauerũt virtutem iſta tempora, & per te aduenit in Rempub. magiſtratus nomen, & res noua, lætati ſumus, quemadmodum æquum eſt ſodales iamdiu factos cum ſacra geometria inuicem nos conciliauit. quod autem in decurionibus & meum fratrem poſtulas numerare, non autem deles familiam ex improbis libris, etiamſi quid ex

συμβῆναί μοι πολὺ καὶ τῆς νυκτὸς μέρος, ἐπιλαμβάνοντι.

Τῷ ἀδελφῷ.

Κἀγὼ οὐ μικρὸν ἀπολαύσω τῆς ἀρχιερικίας, τῶν ἐμπόρων λίαν ἀληθεύειν διαθέσιν, εὖ ἴσθι ὅτι· καὶ ἐπὶ τῆς Λιβύω ἐσχατιᾶς.

Ἡσυχίῳ.

Ἀθηναῖοι Θεμιστοκλέα τὸν Νεοκλέους ἐπῄνεσαν, ὅτι καί τοι πολιτικῆς δυνάμεως ἐραστὴς παρ᾽ ὁντινοῦν τῶν ἐφ᾽ ἑαυτοῦ γενόμενος, ἀπηύξατο πᾶσαν ἀρχήν, ἐν ᾗ τῶν ξένων οὐδὲν ἔμελλον πλέον ἕξειν οἱ γνώριμοι. Σὺ δὲ ὅτι μὲν ἐπεγνώσθης τὴν ἀρετὴν οἱ καιροί, καὶ διὰ σὲ παρῆλθεν εἰς τὴν πολιτείαν ἀρχῆς ὄνομα καὶ πρᾶγμα καινόν, ᾔσθημεν ὥσπερ εἰκὸς ἑταίρους ἐκ παλαιοῦ γεγονότας, τῆς ἱερᾶς γεωμετρίας ἀλλήλοις ἡμᾶς μνηστευσάσης· ὅτι δὲ ἐν τοῖς βουλευταῖς καὶ τὸν ἐμὸν ἀδελφὸν ἀξιοῖς ἀριθμεῖν, ἀλλ᾽ οὐκ ἀπαλείφεις τὴν οἰκίαν ἀπὸ τοῦ πονηροῦ βιβλίου, κἂν εἴ τι κατ᾽

συμφορὰν ἀρχαίαν παρειληφὼς γινόμενον, τοῦτο δὲ, οὐ κατὰ Θεμιστοκλέα σὲ φημι ποιεῖν, οὔτε δοκοῦντα τῇ θείᾳ γεωμετρίᾳ. Εὐόπτιον γὰρ ἐν ἀδελφοῖς ἔδει τετάχθαι τοῖς σοῖς, εἰ τὰ τῷ αὐτῷ τὰ αὐτὰ, καὶ ἀλλήλοις ἐστὶ δεῖ τὰ αὐτά. εἰ δὲ διὰ τὸν τῶν περικεχυμένων πραγμάτων ὄχλον, ὃ χρεὼν ἠμέληται μέχρι τοῦ νῦν, δεῖξον ὦ θαυμάσιε. καὶ λαβὼν τὴν ἐπιστολὴν ἄνες τὴν πενθερὰν αὐτοῦ, τῆς ἀτόπου ζημίας, καὶ τὰ μετὰ ταῦτα, καὶ τὰ πρὸ τοῦ· καὶ ἀπόδος μοι τὸν ἀδελφὸν, ὃν εἰ μὲν δι' αὐτὸ τοῦτο ἀποδημεῖ, θεὸς οἶδε· πρὸς ἐμὲ δὲ πάνυ παραμυθίας δεόμενον, ἐπὶ πολλαῖς, ὧν οὐκ ἀνήκοος εἶ συμφοραῖς, οὐδὲν ἕτερον προφασίζεται.

Ἀνυσίῳ.

Πρώην οὐκ ἔφθασα τὴν βαρβάρων ἀκοὴν ἀπὸ τῆς Κυρήνης πυθόμενος· κἀγὼ μὲν διενοούμην ἢ τάχος ἐπὶ τὰ Τεύχειρα παραπέμψαι τὴν φήμην· ἧκε δὲ τις ἀγγέλλων, ὡς ὁ στρατηγὸς ἤδη τὰ μετέωρα τῆς χώρας κατείληφεν· ἐφθάκεις γὰρ ἄρα

veteri calamitate ante factum fuerit, istud certe non Themistoclis exemplo prædico te facere, neque quæ placent diuinæ Geometriæ. Euoptium enim oportebat inter fratres tuos numerari, si quæ vni tertio eadem sunt, ea & inter se eadem oporteat. Quòd si propter circumfusorum negotiorũ turbam officium hactenus neglectũ est, ostende ô admirande, & accepta epistola libera socrum iniquo isto damno, & in posterum & in præteritum, & reddito mihi fratrem, qui an ob id peregrè absit, Deus nouit. Apud me autem valde indigẽtem consolatione, ob multas quas audiisti calamitates, nihil aliud causatur.

Anysio. 94.

Nuper simul atque audiui acerbũ rumorem à Cyrenis, equidem cogitabam quàm celerrime ad Teuchira transmittere famã. Venit autem quidam nuntians, quod dux edita regionis loca occupasset. Tu enim ante me

audieras. Vtinam consequaris promptam animi mercedem à deo & nunc & in posterum. Ego verò hæc ipsa laudaturus misi, & interrogaturus quis sit rerum tuarum status. Vtinam bene sit tibi. Est enim mihi curæ & Pentapolis. Quidni? mater est queadmodum Cretes loquerētur. Maximè autem & tu & gloria tua curæ mihi sunt. Ob vnamquamque enim rerum tuarum secundarum omnes à me postulant, vt collæter. Cùm igitur de me iudicetur in tuis rebus, ô prestantissime & virorum & ducum, debeo scire quo res tuæ sunt loco. Ioannem adhortatus sum, quantum potui vt strenuũ se præberet & vbique intrepidũ militẽ cum Deus ei faueat. Da ei manum fratrem, qui vice multorũ eum adiuuabit: illud mihi optimũ videtur consilium indolem cognoscenti adolescentium, & quantum pudoris alter erga alterũ habeat. Quòd si tibi ita videbitur, ratũ sit. Ex sociis eos, qui militatum profecti sunt, salutato. Cõtubernalis meus celeriter ad me reuertatur, prçclarã aliquã adferẽs de bello

πυθόμενος· ὑπὲρ μὲν τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ θεοῦ, καὶ νῦν καὶ εἰς ἔπειτα. ἐγὼ δὲ αὐτὰ ταῦτα καὶ νῦν ἐπαινεσόμενος ἔπεμψα, καὶ πευσόμενος ἐν οἷς εἴης· εἴης δὲ ἐν ἅπασιν ἀγαθοῖς. μέτεστι μὲν γάρ μοι, μέτεστι καὶ Πενταπόλεως· πῶς γὰρ οὔ· τῆς γε μητρίδος, ὡς ἂν Κρῆτες εἴποιεν, οὐχ ἥκιστα δὲ σοῦ καὶ τῆς δόξης τῆς σῆς. ἐφ᾽ ἑκάστῳ γὰρ δὴ τῶν σῶν ἀγαθῶν ἐμὲ πάντες ἀξιοῦσι συνήδεσθαι. ὡς οὖν ἐν σοὶ κρινόμενος ἀρίστῳ ἀνδρῶν τε καὶ στρατηγῶν, δίκαιός εἰμι καὶ εἰδέναι τὰ σά. Ἰωάννην προσετρεψάμην ὡς ἐνῆν, ἀγαθὸν εἶναι, καὶ ἄλλως οὐκ ἄθυμον στρατιώτην ἐᾶν· ὁ θεὸς αὐτῷ πιθῆται. δὸς αὐτῷ χεῖρα διὰ τὸν ἀδελφόν, ὃς ἀντὶ πολλῶν ὑπουργήσει. τοῦτο ἐμοὶ μὲν ἄριστον δοκεῖ βούλευμα, τῷ ταῖς φύσεις εἰδότι τῶν νεανίσκων, καὶ ὡς ἔχουσι πρὸς ἀλλήλους αἰδοῦς· εἰ δὲ καὶ σοὶ φαίνεται, κύριον ἔστω. τῶν ἑταίρων τοὺς στρατευσαμένους ἀσπάσαι. ὁ σύντροφός μου ταχέως ἐπανηκέτω, καλόν τι φέρων περὶ πολέμου διή-

γημα· ὃς καὶ τοι ζηλότατος ὢν, ἐθάρρησε τὴν ὁδὸν, τῶν σῶν ὅπλων ἔμπροσθεν ὄντων. δὸς τῇ Κυρίνῃ τὴν συμμορίδα τῶν ἀδελφῶν· μαχοῦνται γὰρ ὑπὲρ τῆς ἐνεγκούσης τε καὶ θρεψούσης αὐτούς.

Τῷ ἀδελφῷ.

Ὅτι μὲν ἡμᾶς εἴκειν ἡγῇ τοῖς σαυτοῦ προστάγμασιν· οὕτω γὰρ γέγραφας· καλῶς γε ποιεῖς, καὶ δίκαια περὶ ἡμῶν φρονεῖς, καὶ πολλὰ κἀγαθά σοι γένοιτο διὰ τοῦτο· ὡς ἀπέχομεν γε τὴν χάριν, εἰ δή τις ὀφείλεται καὶ νεωτέρῳ παρὰ ἀδελφοῦ πρεσβυτέρου, τοῦ πείθεσθαι χάρις, ὡς οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἡμῖν εἰς ἀντίδοσιν ἀρκεῖ, τὸ μὴ ἀγνοεῖσθαι παρὰ σοῦ τὴν ἔνστασιν ἡμῶν, ὅτι μόνῳ σοὶ τῶν ζώντων ἐγκείμεθα. ὅ, τι δὲ φὴς εἰδέναι σαφῶς, ὡς δι' εὐχῆς ἄγει τὰ τῆς φιλίας ἡμῶν Ἰούλιος, τοῦτο δὲ οὐκέτ' ἄξιον ἀποδέχεσθαι. λίαν γάρ ἐστιν ἀνδρὸς ἀπατωμένου, μὴ ἀπατῶντός γε εἴποιμι.
γρ. παρ' ὁμοῦ γὰρ ἐγώ τε παρὰ σοῦ γράμματα
ἑτέρου. ἀνεγίνωσκον, καὶ ἕτερός τις τὰ παρ' * αὐτοῦ·

narrationem. Qui quanquam timidissimus sit, ausus est iter suscipere, cum armis tuis protegeretur. Dato Cyrenæ bigam fratrum; pugnabunt enim pro patria quæ illos tulit, & educat.

Fratri, 95.

Quod quidem nos parere putas tuis iussis, sic enim scripsisti, optime quidem facis, & præclarè de nobis sentis, & multa & bona tibi ob id eueniant: nam accepimus gratiam, si qua fortè debetur minori à fratre seniore, parendi gratia; quod equidem non puto. Sed nobis ad remunerationem satis est, non ignorari abs te nostrum erga te studium, quod soli tibi eorum qui viuunt expositi sumus. Quòd autem ais te certo scire, Iulium nostram amicitiam optare. Istud sanè iam dignum non est fide. Valde enim est viri decepti, nõ enim dixerim decipiẽtis. nam simul ego tuas litteras legebam, & alius quidem litteras ab illo,

& tu quidem hæc ais, ille autem contra. Et legiſſe & audiſſe dicitur quod narraret de nobis incommodos ſermones. Non poteram non credere viro honeſto & bono, & credens, imo per præſidem conſanguinitatis & tuum & meum, & non me pigebat eorum quæ in illum hominem contuleram, qui pridie per vim accuſatorem ſummoueram qui poſtulabat eum perduellionis vt ſceleratum in domum Imperatoris. Per ſacrum enim tuum caput, niſi multis periculis reſtitiſſem, partim timiditati iudicis pœnitentiam in tali cauſa non admittentis: partim accuſatoris vecordiæ, ſimulantis neceſſitatem; verùm cupientis facere mali aliquid & accipere, & vxorem eius & filios attigiſſet periculum & cognatos multos, & valde amicos, diuites & pauperes. Atque omnino malorum ilias accidiſſet in noſtra ciuitate profecta ab homine deſperante de ſalutę & mori cupiente. Viciſſet autem Iu-

καὶ σὺ μὲν ταῦτα φής, ἐκεῖνος δὲ τἀναντία· καὶ ἀνεγνωκέναι καὶ ἀκηκοέναι λέγεται, ὅτι διαλέγοιτο περὶ ἡμῶν ἀνεπιτηδείοις λόγοις. οὔτ' οἶω ἀπιστεῖν εἶχον ἀνδρὶ καλῷ κἀγαθῷ, καὶ πιστεύων, οὐ μὰ τὸν ὁμόγνιον τὸν ἐμόν τε καὶ σὸν, οὐ μετενόουν ἐφ' οἷς πεποιήκειν τὸν ἄνθρωπον, αὐτῇ τῇ προτεραίᾳ σὺν βίᾳ τὸν κατήγορον ἀποσκευάσας, ὃς ἐδίωκεν αὐτὸν ἀσεβείας, ὡς ἀδικοῦντα τὴν βασιλέως ἑστίαν. νὴ γὰρ τὴν ἱερὰν σου κεφαλὴν, εἰ μὴ ταῖς συχναῖς πείραις ἀντεῖχον, τοῦτο μὲν τῇ τοῦ δικαστοῦ δειλίᾳ μετελθοίμην ἐπὶ τοιαύτης ὑποθέσεως οὐ προσιεμένου· τοῦτο δὲ τοῦ κατηγοροῦντος ἀπονοίᾳ, προσαποιουμένου μὲν τὴν ἀνάγκην, προθυμουμένου δὲ δρᾶσαι τὲ κακόν τι καὶ παθεῖν, καὶ γαμετῆς αὖ αὐτοῦ καὶ παίδων ἥψατο ὁ δεινότατος, καὶ συγγενῶν συνήθων καὶ πολλῶν φίλων, πλουσίων τε καὶ πενήτων· καὶ ὅλως κακῶν αὖ ἰλιὰς περιέστη τὴν πόλιν ἡμῶν, ὑπ' ἀνδρὸς ἀπογνόντος τὴν σωτηρίαν καὶ θανατῶντος· ἐοίκησε δ' αὖ

Ἰούλιος νίκην ἐφ' ᾗ ζῶν οὐκ ἂν ηὔξατο. ὑπὲρ ὧν ἁπάντων ᾠήθην ποιητέα μοι ταῦτα εἶναι τὰ γεγενημένα. τῆς δὲ ἐμῆς φύσεώς τε καὶ προαιρέσεως ἀπολαυέτω καὶ ὅστις ἔχθιστος. πολλῷ γὰρ ἐμοὶ κάλλιον ἔχει τὸ ἀναξίως τινὰ πεποιηκέναι καλῶς, ἢ περιϊδεῖν πολλοὺς, ἐξὸν κωλῦσαι, παρὰ τὴν ἀξίαν πεισομένους κακῶς. οὐ γὰρ δὴ καὶ τὴν εὐγενῆ γυναῖκα καὶ τὰ παιδία τοῦ ἀνθρώπου μισῶ. καί τοι γε οὐδ' αὐτὸς ἄξιός ἐστιν ἐπὶ τῇ καθ' ἐμοῦ λοιδορίαις παθεῖν τι κακῶς ὑπ' ἐμοῦ· πολλοῦ γε καὶ δεῖ. μισεῖσθαι μὲν γὰρ ἐστὶ πολύ. λυπεῖν γὰρ οἰόμενος λέγει, καὶ ὡς δηξόμενος φθέγγεται. ἡ προαίρεσις οὖν οὐκ ἀνεύθυνος, ἀλλ' ὑπαίτιος. ἴστω μέν τοι, μᾶλλον δὲ μὴ ἴστω· παύσαιτο γὰρ ἂν εὖ ποιῶν ἡμᾶς. σὺ μέν τοι σαφῶς ἴσθι τὸ πάλαι λεγόμενον, ὑπ' ἐχθρῶν ὡς ἔστιν ὠφελεῖσθαι, νῦν ἔργῳ φαινόμενον. τί γὰρ εἰς εὔκλειαν ἡμῖν

γρ. ἡμῖν ἀνὴρ * ὁ συντελεῖ. πᾶς ὅστις ἡμᾶς ἐπαινεῖν

οὐ σ. βούλεται μηδὲν ἕτερον ἐξευρίσκων εἰπεῖν, λέγει τοῦτο πρῶτον καὶ μόνον καὶ μέγιστον,

lius victoriam cui superuenire numquam optasset. Pro his omnib. putaui faciẽda mihi esse quæ facta sunt. Mea autem natura & studio obiter fruatur etiam qui inimicissimus est. Multò enim mihi honestius est indigne bene meritum esse de aliquo, quàm neglexisse multos, cùm mihi prohibere liceret, præter æquum, male passuros. Non enim & nobilem vxorem & liberos hominis odi: quamquam ne ipse quidem dignus est qui à me aliquid mali ferat, ob maledicta quæ in me iactat, multum sanè abest: sed dignus est qui vel maximè inuisus sit. Inurere enim mihi dolorem putans, hęc dicit, & vt me mordeat, ista loquitur. Hominis igitur voluntas non crimine vacat, verùm culpanda est. Sciat tamen, immo verò nesciat. Desineret enim de nobis mereri. Tu certo scias quod olim dictũ est, quod ab inimicis liceat vtilitatem capere, nũc id reipsa cerni. Quid enim nobis non cõfert ad gloriã? Omnis quicunq; vult me laudare nihil aliud inueniẽs, quod dicat, dicit hoc primũ & solum & maximũ,

quod Iulius maledictis ipsum incessit. In hac autem vna oratione quod non examen bonorum? Nam aduersari cuiusque generis prauitati, est familiarem & affinem esse omni virtuti. Atque ego nullius talis rei conscius sum mihi. Verùm ille ait. His enim quæ contraria dicit hoc confirmat. Itaque & gratiam ei habuerim. Per sacrum tuum caput & liberorum meorum salutem, nihil est quo mihi magis gratificari possit, quàm si maledicat. Etenim quod & ad deum & ad homines attinet, istud mihi pulcherrimum fuerit. Verùm istius voluntatis dabit pœnas. Mihi quidem minimè. fortasse enim ne si possem, quidem vellem. Omnino verò ne si vellem, possem. Quid enim homo sic miser vt ego, si conferatur hoc tempore cum principe, vt vager exul à patria, nec spem reditus habeam, hostibus castra metatis in meis prædiis, & illis tamquam aliqua munitione aduersus Cyrenam vtentibus. Eccui igitur, eccui dabit pœnas? Ipsi iusti-

ὡς Ἰούλιος αὐτὸν ἀγορεύει κακῶς. ἐνὶ δὲ τούτῳ τῷ λόγῳ, ποῖος οὐκ ἑσμὸς ἀγαθῶν. τὸ γὰρ ἀντικειμένως ἔχειν πρὸς παντοδαπὴν πονηρίαν, οἰκείως ἐστὶν ἔχειν πρὸς παντοδαπὴν ἀρετήν. ἐγὼ μὲν οὖν, οὐδὲν ἂν ἐμαυτῷ συνειδείην τοιοῦτον· ἐκεῖνος δέ φησιν. οἷς γὰρ τἀναντία φησί, τοῦτο πιστοῦται· ὥστε καὶ χάριν ἂν εἰδείην αὐτῷ. νὴ τὴν ἱερὰν σου κεφαλὴν καὶ τὴν τῶν παιδίων μου σωτηρίαν, οὐκ ἔστιν ὅ, τι ἄν μοι μεῖζον τῆς λοιδορίας χαρίσαιτο. καὶ γὰρ καὶ πρὸς θεοῦ καὶ πρὸς ἀνθρώπων, ἐν τῷ καλλίστῳ μοι κείσεται τοῦτο. ἀλλὰ τῆς προαιρέσεως δώσει δίκας· ἐμοὶ μὲν, οὔ· τυχὸν μὲν γὰρ οὐδ' ἂν εἰ δυναίμην, βουλοίμην· πάντως δὲ, οὐδ' ἂν εἰ βουλοίμην, δυναίμην· τί γὰρ παρὰ τὸν ἐπὶ χειρὸς δυνάστην, ἄνθρωπος οὕτως ἀτυχής, ὡς ἀλᾶσθαι φεύγων τὴν ἑαυτοῦ, καὶ μηδ' ἐλπίδας ἔχειν καθόδου, τῶν πολεμίων ἐστρατοπεδευκότων ἐν τοῖς ἐμοῖς, κἀκείνοις ὁρμητηρίοις κατὰ Κυρήνης χρωμένων· τίνι μὲν τοι, τίνι δώσει δίκας· αὐτῇ

τῇ δίκῃ. ἐψευσάμην γὰρ ἐγὼ τοῦτο σαφῶς,
οὐ εἰδέναι δοκῶν. μετελεύσεται γὰρ αὐτὸν ὑ-
πὲρ ἐμοῦ καὶ τῆς κοινῆς πατρίδος, ὑπὲρ ἧς
τἀναντία πεπολιτεύμεθα, καὶ δι' ἣν ἀλλή-
λοις ἀπηχθήμεθα. οὐ γὰρ ὑπὲρ τὴν ἐμαυ-
τοῦ τινός· οὐδ' ἂν αὐτὸς εἰπεῖν ἔχοι· ἀλλὰ
τὰ πρῶτα μὲν ὅτι τὸ στρατιωτικόν τε καὶ τὸ
βουλευτικὸν ἑώρων, εἰς θηλυκὸν, καὶ ἐπειρώ-
μην ἀντέχειν· ἔπειτα μέντοι τὰ περὶ τὴν
πρεσβείαν καὶ πάνυ λαμπρῶς διεστασία-
σεν ἡμᾶς. ἐῶ τὰ κατὰ τὸν ἑταῖρον Διοσκου-
ρίδην, ὅτι μετρίως ἐπεράθη, καὶ οὐχ ὡς
ἂν κινήσαι θεοῦ τε καὶ ἀνθρώπων νέμεσιν.
αὕτη μέντοι σαφῶς ἐστὶ περὶ ἧς πρὸς λύ-
ραν ἄδομεν. λήθουσα δὲ παρὰ πόδα βαί-
νεις· γαυρούμενον αὐχένα κλίνεις· ὑπὸ πῆ-
χυν ἀεὶ βιοτὰν κρατεῖς. ἀλλὰ (ψηφίζε-
σθαι δέον) ἐγὼ μὲν ἔγραφον ὑπὲρ τῆς πα-
τρίδος, ἀστρατείαν εἶναι τοῖς ξένοις· ὁ δὲ ἀν-
τέλεγεν ὑπὲρ Ἑλλαδίου καὶ Θεοδώρου. καί-
τοι τίς οὐκ οἶδεν, ὅτι καὶ τοὺς φύσει στρατιωτι-
κῶς ἔχοντας τῶν ἀρχόντων, οἱ ξένοι μετα-
διδά-

iustitię. Promitto enim hoc plane qui rectè scire videor. Puniet enim eum pro me & communi patria pro qua diuersá sensimus in Repub. & ob quam alter, alteri infensi sumus: non enim pro re aliqua mea. Ne ipse quidem id dicere possit. Verùm initio quidem, quod milites & decuriones videbam in seruili conditione esse, conabar resistere, deinde verò & legatio valde aperte nos ad dissentionem impulit. Omitto quæ ab eo Dioscuridi sodali euenêre, quia moderate gesta sunt, nec talia vt moueant Deique hominúmque indignationem. Ista tamen perspicuè est de qua ad lyram canimus: fallens è vestigio incedis. Superbam ceruicem inflectis. Sub * cubito semper vitam tenes. Sed decernere cum oporteret, ego referebam ad Senatum pro salute patriæ ne exteri militarent. Ille autem contradicebat pro Elladio & Theodoro. Quamquam quis non nouit, quod eos qui natura sunt bellicosi principes, externi milites

* *cubito hominum vitā metiris, & ad illam regulam reuocas.*

deducant, & habitu mutato traducant, in mercatores. Rursum referebam ad Senatum vt solueretur præfectura nostra, quod omnes vno consensu qui hic sunt homines solum esse aiunt malorum remedium, si in pristinum imperium reuerterentur ciuitates, hoc est si Ægyptiorum præfecto vrbes Libyæ pareant. Iste autem contradicebat pro lucro, & plane audebat dicere quod vtile esset humiles si sint milites. Verùm sodes. Dignum enim est per te ei dici. Ob ista nunc quidem execrandus es, qui communem fortunam in contrarium experiaris. Beatus enim es inter miseros. Ego autem cum ciuitate vna sum miser. Attamen certo scias, naturæ legem esse vt partes toro contineantur. Et cum magnus ex corporis calamitate splen creuerit, quamdiu resistit totum corpus, bene habitus vt sit & pinguescat: morienti tamen corpori vt commoriatur: & tu in præsens bene tibi consulēs, latebis ob facta tua, fatum patriæ existens,

διδάσκουσι, καὶ μεταστοιβάζουσιν εἰς ἐμπόρους, πάλιν ἔγραφον παρὰ τοῦ κελεύσαντος τὴν περὶ ἡμῶν στρατηγίαν, ὅπερ ἅπαντες ὁμοφώνως οἱ τῇδε ἄνθρωποι μόνον εἶναί φασι λυτήριον τῶν δεινῶν, ἐπανελθεῖν εἰς ἀρχαίαν ἡγεμονίαν τὰς πόλεις, τουτέστι ὑπὸ τὸν Αἰγυπτίων ἄρχοντα καὶ τὰς Λιβύων τετάχθαι· ὁ δὲ ἀντέλεγεν παρὰ τὴν χερσῶν, καὶ ἄντικρυς ἀπετόλμα λέγειν, ὅτι λυσιτελὲς ταπεινοῖς εἶναι στρατιώταις. ἀλλ' ὦ τᾶν· ἄξιον γὰρ διὰ σοῦ πρὸς αὐτὸν εἰρῆσθαι· διὰ ταῦτα, νῦν μὲν ἐπάρατος εἶ, τῆς κοινῆς τύχης ἐπὶ τἀναντία πειρώμενος· εὐτυχεῖς γὰρ ἐν ἀτυχοῦσιν· ἐγὼ δὲ τῇ πόλει συνατυχῶ. ἴσθι μέντοι σαφῶς, ὅτι φύσεώς ἐστι νόμος, ἐμπεριέχεσθαι τῷ καθόλου τὰ μέρη· καὶ ὅταν πάνυ πολὺς ἀπὸ τῆς τοῦ σώματος συμφορᾶς ὁ ἀλγῶν αὐξηθῇ, ἕως μὲν αὐτῇ τὸ ὅλον εὐθενεῖταί τε καὶ πιαίνεται. ἀπολλυμένῳ δὲ συναπόλλυται· καὶ σὺ τὸ παρὸν εὖ τιθέμενος, λήσεις τοῖς σαυτοῦ πολιτεύμασιν εἱμαρμένην τῆς πατρίδος τε ὤν,

illo malo iam ſeptem menſibus procul ab hominibus illis peregrinor apud quos Epiſcopus ero, donec plane intellexero quale tandem natura ſit, etſi liceat cum philoſophia munus illud geram. Sin autem diuerſum eſt à mea vita & inſtituto, quid aliud, quam vt proficiſcar hinc nauigans recta in illuſtrem græciam, reliquum. Recuſanti enim epiſcopatum deſperanda etiam eſt patria, niſi mē oportet omnium ignominioſiſſimum eſſe, & maximè execrandum, in turba odio me proſequentium verſantem.

Eidem. 97.

Tuam cum legerem epiſtolam, in qua narraſti de valetudine aduerſa, & timui incipiens, & deſinens bono animo eſſe cœpi. Minitatus enim periculum nunciaſti meliora. De his autem quæ petiiſti. vt mitterentur à nobis aut ferrentur, quæ poterunt omnia omnimodo aut mittentur aut ferentur. Quæ autem ex his fieri poſſunt, aut non fieri, ſuperuacaneum

μῆνα γινόμενος ἐν τῇ ξένῃ, μακρὰν ἀποδημῶ τῶν ἀνθρώπων παρ' οἷς ἱεράσομαι, ἕως ἂν ἀκριβῶς ὁποῖόν ποτέ ἐστι τῇ φύσει κατανοήσω. κἂν μὲν ἐγχωρῇ μετὰ φιλοσοφίας τὸ πρᾶγμα, ἐργάσομαι· εἰ δὲ ἀλλοῖόν ἐστιν, ἢ κατὰ τὴν ἐμὴν ἀγωγήν τε καὶ προαίρεσιν, τί ἄλλο, ἢ τὴν εὐθὺ τῆς κλεινῆς Ἑλλάδος ἀποπλέων οἰχήσομαι. ἀπειπάμενος γὰρ τὴν ἱερωσύνην, ἀπογνωστέον ἐστὶ καὶ τῆς πατρίδος, εἰ μή με δεῖ πάντων ἀτιμότατον εἶναι, καὶ ἐπαρατότατον ἐν ὄχλῳ μισούντων ἀναστρεφόμενον.

Τῷ αὐτῷ.

Τὴν ἐπιστολὴν ἀναγινώσκων, ἐν ᾗ διηγήσω περὶ τῆς ἀρρωστίας, καὶ ἐφοβήθην ἀρχόμενος, καὶ παυόμενος ἀνεθάρρησα. ἀπειλήσας γὰρ κίνδυνον, εὐηγγελίσω τὰ λῷονα. περὶ ὧν δὲ ἤτησας πεμφθῆναι παρ' ἡμῶν ἢ κομισθῆναι, τὰ δυνατὰ πάντα πάντως ἢ πεμφθήσεται, ἢ κομισθήσεται. τίνα δὲ αὐτῶν τὰ δυνατά, καὶ τὰ μὴ δυνατά, περιττὸν

quod Iulius maledictis ipsum incessit. In hac autem vna oratione quod non examen bonorum? Nam aduersari cuiusque generis prauitati, est familiarem & affinem esse omni virtuti. Atque ego nullius talis rei conscius sum mihi. Verùm ille ait. His enim quæ contraria dicit hoc confirmat. Itaque & gratiam ei habuerim. Per sacrum tuum caput & liberorum meorum salutem, nihil est quo mihi magis gratificari possit, quàm si maledicat. Etenim quod & ad deum & ad homines attinet, istud mihi pulcherrimum fuerit. Verùm istius voluntatis dabit pœnas. Mihi quidem minimè. fortasse enim ne si possem, quidem vellem. Omnino verò ne si vellem, possem. Quid enim homo sic miser vt ego, si conferatur hoc tempore cum principe, vt vager exul à patria, nec spem reditus habeam, hostibus castra metatis in meis prædiis, & illis tamquam aliqua munitione aduersus Cyrenam vtentibus. Eccui igitur, eccui dabit pœnas? Ipsi iusti-

ὡς Ἰούλιος αὐτὸν ἀγορεύει κακῶς. ἔνι δὲ τούτῳ τῷ λόγῳ, ποῖος οὐκ ἐσμὸς ἀγαθῶν. ὃ γὰρ ἀντικειμένως ἔχει πρὸς παντοδαπὴν πονηρίαν, οἰκείως ἐστὶν ἔχειν πρὸς παντοδαπὴν ἀρετήν. ἐγὼ μὲν οὖν, οὐδὲν ἂν ἐμαυτῷ συνειδείην τοιοῦτον· ἐχθρὸς δὲ φησιν. οἷς γὰρ τἀναντία φασί, τοῦτο πιστοῦται· ὥστε καὶ χάριν ἂν εἰδείην αὐτῷ. νὴ τὴν ἱερὰν σου κεφαλὴν καὶ τὴν τῶν παιδίων μου σωτηρίαν, οὐκ ἔστιν ὅ, τι ἄν μοι μεῖζον τοῦ λοιδορῆσαι χαρίσαιτο. καὶ γὰρ καὶ πρὸς θεοῦ καὶ πρὸς ἀνθρώπων, ἐν τῷ καλλίστῳ μοι κείσεται τοῦτο. ἀλλὰ τῆς περιαιρέσεως δώσει δίκας· ἐμοὶ μὲν, οὔ· τυχὸν μὲν γὰρ οὐδ' ἂν εἰ δυναίμην, βουλοίμην· πάντως δέ, οὐδ' ἂν εἰ βουλοίμην, δυναίμην· τί γὰρ παρὰ τὸν ἐπὶ καιροῦ δυνάστην, ἄνθρωπος οὕτως ἀτυχής, ὡς ἀλᾶσθαι φυγὼν τὴν ἑαυτοῦ, καὶ μηδ' ἐλπίδας ἔχειν καθόδου, τῶν πολεμίων ἐστρατοπεδευκότων ἐν τοῖς ἐμοῖς, κἀκείνοις ὁρμητηρίοις κατὰ Κυρήνης χρωμένων· τίνι μὲν τοι, τίνι δώσει δίκας· αὐτῇ

τῇ δίκῃ. ἐγγυῶμαι γὰρ ἐγὼ τοῦτο σαφῶς,
οὐ εἰδέναι δοκῶν. μετελεύσεται γὰρ αὐτὸν ὑ-
πὲρ ἐμοῦ καὶ τῆς κοινῆς πατρίδος, ὑπὲρ ἧς
τἀναντία πεπολιτεύμεθα, καὶ δι' ἣν ἀλλή-
λοις ἀπηχθήμεθα. οὐ γὰρ ὑπέρ γε τῶν ἐμαυ-
τοῦ τινός· οὐδ' ἂν αὐτὸς εἰπεῖν ἔχοι· ἀλλὰ
τὰ πρῶτα μὲν ὅτι τὸ στρατιωτικόν τε καὶ τὸ
βουλευτικὸν ἑώρων, εἰς θηλυκὸν, καὶ ἐπειρώ-
μην ἀντέχειν· ἔπειτα μέντοι τὰ περὶ τὴν
πρεσβείαν καὶ πάνυ λαμπρῶς διεστασία-
σεν ἡμᾶς. ἐῶ τὰ κατὰ τὸν ἑταῖρον Διοσκου-
ρίδην, ὅτι μετρίως ἐπεράνθη, καὶ οὐχ ὡς
ἂν κινῆσαι θεοῦ τε καὶ ἀνθρώπων νέμεσιν.
αὕτη μέν τοι σαφῶς ἐστι περὶ ἧς ἱερὸς λύ-
ραν ἄδομεν. λήθουσα δὲ παρὰ πόδα βαί-
νεις· γαυρούμενον αὐχένα κλίνεις· ὑπὸ πῆ-
χυν ἀεὶ βιοτὰν κρατεῖς. ἀλλὰ (ψηφίζε-
σθαι δέον) ἐγὼ μὲν ἔγραφον ὑπὲρ τῆς πα-
τρίδος, ἀστρατείαν εἶναι τοῖς ξένοις· ὁ δὲ ἀν-
τέλεγεν ὑπὲρ Ἐλλαδίου καὶ Θεοδώρου. καί
τοι τίς οὐκ οἶδεν, ὅτι καὶ τοὺς φύσει στρατιωτι-
κῶς ἔχοντας τῶν ἀρχόντων, οἱ ξένοι μετα-
διδά-

iuſtitię. Promitto enim hoc plane qui rectè ſcire videor. Puniet enim eum pro me & communi patria pro qua diuerſa ſenſimus in Repub. & ob quam alter, alteri infenſi ſumus: non enim pro re aliqua mea. Ne ipſe quidem id dicere poſſit. Verùm initio quidem, quod milites & decuriones videbam in ſeruili conditione eſſe, conabar reſiſtere, deinde verò & legatio valde aperte nos ad diſſentionem impulit. Omitto quæ ab eo Dioſcuridi ſodali euenêre, quia moderate geſta ſunt, nec talia vt moueant Deíque hominúmque indignationem. Iſta tamen perſpicuè eſt de qua ad lyram canimus: fallens è veſtigio incedis: Superbam ceruicem inflectis. Sub * cubito ſemper vitam tenes. Sed decernere cum oporteret, ego referebam ad Senatum pro ſalute patriæ ne exteri militarent. Ille autem contradicebat pro Elladio & Theodoro. Quamquam quis non nouit, quod eos qui natura ſunt bellicoſi principes, externi milites

* *cubito hominum vitā metiris, & ad illam regulam reuocas.*

deducant, & habitu mutato traducant, in mercatores. Rursum referebam ad Senatum vt solueretur præfectura nostra, quod omnes vno consensu qui hic sunt homines solum esse aiunt malorum remedium, si in pristinum imperium reuerterentur ciuitates, hoc est si Ægyptiorum præfecto vrbes Libyæ pareant. Iste autem contradicebat pro lucro, & plane audebat dicere quod vtile esset humiles si sint milites. Verùm sodes. Dignum enim est per te ei dici. Ob ista nunc quidem execrandus es, qui communem fortunam in contrarium experiaris. Beatus enim es inter miseros. Ego autem cum ciuitate vna sum miser. Attamen certo scias, naturæ legem esse vt partes toto contineantur. Et cum magnus ex corporis calamitate splen creuerit, quamdiu resistit totum corpus, bene habitus vt sit & pinguescat: morienti tamen corpori vt commoriatur: & tu in præsens bene tibi consulēs, latebis ob facta tua, fatum patriæ existens,

διδάσκουσι, καὶ μετασκευάζουσιν εἰς ἐμπόρους, πάλιν ἔγραφον ὑπὲρ τοῦ λελύσθαι τὴν περὶ ἡμῖν στρατηγίαν, ὅπερ ἅπαντες ὁμοφώνως οἱ τῇδε ἄνθρωποι μόνον εἶναί φασι λυτήριον τῶν δεινῶν, ἐπανελθεῖν εἰς ἀρχαίαν ἡγεμονίαν τὰς πόλεις, τουτέστιν ὑπὸ τὸν Αἰγυπτίων ἄρχοντα καὶ τὰς Λιβύων τετάχθαι· ὁ δὲ ἀντέλεγεν ὑπὲρ τῶν κερδῶν, καὶ ἄντικρυς ἀπετόλμα λέγειν, ὅτι λυσιτελεῖ ταπεινοὺς εἶναι στρατιώτας. ἀλλ' ὦ τᾶν· ἄξιον γὰρ διὰ σοῦ πρὸς αὐτὸν εἰρῆσθαι· διὰ ταῦτα, νῦν μὲν ἐπάρατος εἶ, τῆς κοινῆς τύχης ἐπὶ τἀναντία πειρώμενος· εὐτυχεῖς γὰρ ἐν ἀτυχοῦσιν· ἐγὼ δὲ τῇ πόλει συνατυχῶ. ἴσθι μέντοι σαφῶς, ὅτι φύσεώς ἐστι νόμος, ἐμπεριέχεσθαι τῷ καθόλου τὰ μέρη· καὶ ὅταν πλέον πολὺς ἀπὸ τῆς τοῦ σώματος συμφορᾶς ὁ πόνος αὐξηθῇ, ἕως μὲν ἀντέχει τὸ ὅλον εὐθενεῖταί τε καὶ πιαίνεται. ἀπολλυμένῳ δὲ συναπόλλυται· καὶ σὺ τὸ παρὸν εὖ τιθέμενος, λήσεις τοῖς σαυτοῦ πολιτεύμασιν εἱμαρμένην τῆς πατρίδος τε ὤν,

καὶ σαυτοῦ. μέχρι τούτου Λασθένης ὠνομάζετο φίλος Φιλίππου, μέχρι προὔδωκεν Ὄλυνθον· τὴν δὲ ἄπολιν, πῶς εἰκός ἐστι εὐτυχεῖν.

Ὀλυμπίῳ.

Ἐγὼ μάρτυρα ποιοῦμαι θεόν, ὃν καὶ φιλοσοφία καὶ φιλία πρεσβεύει, πολλοῖς μὲν ἂν θανάτοις ἀνθ᾽ ἱερωσύνης εἱλόμην· τοῦ θεοῦ δὲ ἐπενεγκόντος οὐχ ὅπερ ἤτουν, ἀλλ᾽ ὅπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην, ὡς μὴ φανῆναί μοι τὸ πρᾶγμα φιλοσοφίας ἀπόβασιν, ἀλλ᾽ εἰς αὐτὴν ἐπανάβασιν. τέως δὲ ὥσπερ εἴ τι μοι τῶν ἡδέων συνεπεπλώκει, ἐκοινωσάμην ἂν σοὶ τῇ πάντων φιλτάτῃ μοι κεφαλῇ, οὕτω καὶ τῶν δυσχερῶν εἰς σὲ διαπέμπω τὴν ἀκοήν, ἵνα συναχθοιό τε, καὶ εἴ τι δύναιο πρὸς τὴν ἐμὴν φύσιν τὸ πρᾶγμα ἐξετάσας, εἰσηγήσαιο γνώμην, ὅ,τι με δεήσει ποιεῖν. νῦν γὰρ ἐγὼ πόῤῥωθεν οὕτω διαπειρῶμαι τοῦ πράγματος, ὡς ἑβδόμην ἤδη

& tui ipsius. Eo vsque Lasthenes appellabatur amicus Philippi, donec prodidit Olynthum. Eum autem qui vrbe caret quo pacto verisimile est beatum esse.

Olympio. 90.

Ego testem deum facio, quem & philosophia & amicitia colit, multas mortes pro episcopatu optasse͂. Verũ cum deus intulerit non quod petebam, sed quod volebat, precor eum qui fuit tributor vitæ vt sit attributæ præses, ne videatur ea mihi res philosophiæ descensus, sed ad ipsam ascensus. Interim quemadmodum si mihi quid iucundum accidisset, tibi impertissem, omnium mihi charissimo capiti: sic etiam tristium incommodorum ad te trãsmitto auditione͂, vt & meam vicem doleas, & si quid possis, cum ea natura & ingenio re expensa, suppedites consilij, quid oporteat me facere. Nũc enim ego procul experior rem illam, nam versatus in

illo malo iam ſeptem menſibus procul ab hominibus illis peregrinor apud quos Epiſcopus ero, donec plane intellexero quale tandem natura ſit, etſi liceat cum philoſophia munus illud geram. Sin autem diuerſum eſt à mea vita & inſtituto, quid aliud, quam vt proficiſcar hinc nauigans recta in illuſtrem gręciam, reliquum. Recuſanti enim epiſcopatum deſperanda etiam eſt patria, niſi mè oportet omnium ignominioſiſſimum eſſe, & maximè execrandum, in turba odio me proſequentium verſantem.

Eidem. 97.

Tuam cum legerem epiſtolam, in qua narraſti de valetudine aduerſa, & timui incipiens, & deſinens bono animo eſſe cœpi. Minitatus enim periculum nunciaſti meliora. De his autem quæ petiiſti. vt mitterentur à nobis aut ferrentur, quæ poterunt omnia omnimodo aut mittentur aut ferentur. Quæ autem ex his fieri poſſunt, aut non fieri, ſuperuacaneum

ὁ μὲν οὖν Ὀδυσσεὺς· ἠδικεῖτο γὰρ ὄντως· ἔμελλεν ἄρα τῆς πανουργίας ὀνήσεσθαι. σὲ δὲ Κύκλωπα μὲν ὄντα τῇ τόλμῃ, Σίσυφον δὲ τοῖς ἐγχειρήμασι, δίκη μετῆλθε, καὶ νόμος καθεῖρξεν, ὧν μή ποτε σὺ καταγελάσαις. εἰ δὲ δεῖ πάντως ὑπέχειν σε τὴν νόμον, ἀλλὰ μή ἔγωγε εἴην ὁ παραλύων αὖθις, καὶ τὰς θύρας καταῤῥηγνὺς τοῦ ἐπὶ τοῖς δεσμώταις οἰκήματος. καὶ γὰρ εἰ μὲν τῶν ἐπὶ τοῖς ἱερεῦσιν ἡ πολιτεία, τούτοις αὐτοῖς ἔδει τοὺς τῆς πονηρίας κολαστὰς εἶναι. ὡς ἔστι γε τὸ δημόσιον ξίφος οὐχ ἧττον, ἢ τὰ ἐν τοῖς περιτεμενίσμασι χέρνιβα, πόλεως καθαρτήριον. οὕτω καὶ τῶν πρόσθεν
„ ἐπευθόμεθα κλέα ἀνδρῶν. οὕτως ἐποίουν, ἕως ἔδοξε καλὸν εἶναι τὸν αὐτὸν εὔχεσθαί τε ὑπὲρ τῶν κοινῶν ἀγαθῶν, καὶ περιέπειν ὅπως ἂν παραγένοιτο. καὶ γὰρ Αἰγύπτιοι καὶ τὸ Ἑβραίων γένος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. ἐπεὶ δὲ διῳκίσθησαν οἱ βίοι, καὶ ὁ μὲν ἱερός, ὁ δὲ ἡγεμονικὸς ἀπεδείχθη, τετάχαται δὲ ἕτεροι μὲν ἐν τοῖς

παρά-

Vlysses ergo (reuera enim iniuria afficiebatur) fructum vtique erat laturus astutiæ suæ. Te autem Cyclopem existentem audacia, Sisyphum autem ausis & cœptis, iustitia persecuta est; & lex in carcere clausit, quæ vtinam tu numquam irrideas. Quòd si oportet omnino superiorem te esse legibus; nec tamen sim is, qui eas soluat, & fores effringat domicilij, quod custodiis præest. Nam si in sacerdotum potestate esset Respublica, hos ipsos oporteret improbitatis punitores esse. Nam est publicus gladius nō minus, quàm in templorum vestibulis aquaria, vrbis purgatorium. Sic audiebamus gloriam superiorum virorum. Sic faciebant quamdiu videbatur optimum esse eundem & precari pro communibus bonis, & operam dare, vt communia euenirent bona. Nam & Ægyptij & Hebræi diu à sacerdotibus regnati sunt. Postea quam autem diuisæ ac separatæ sunt vitæ, altera sacra, altera principalis effecta est, alij præpositi sunt in

negotiis, nos autem in precibus vt essemus, quibus lex interdicit manum porrigere iustitiæ, & interficere improbissimum, quomodo quis sacerdotibus permiserit viro scelerato manum porrigere contra iustitiam? Verùm ego quidquid mei officij est facio. Precor & priuatim & in communibus templis superior vt sit iniustitiâ iustitia, & improbitate, vt expurgetur ciuitas. Hoc autem idem est ac malum malè perire, & te & alium qui tibi similis est. Sit autem tibi hoc argumentum, qualis essem in te, si quid mihi facere liceret, qui quando non licet exsecror.

Fratri. 122.

Bona multa eueniant, sacerdotibus Auxiditarum, qui, militibus abditis in latebris montium, & volentibus vitam conseruare, ipsi sacerdotes agrestem populum adhortati, à sacris ipsis recta in hostes duxerunt: & diu precati trophæum erexerunt in Mursinitide. vallis autem hæc longa &

*πράγμασιν, ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς εἰσίν. γρ. ἐπὶ οἷς ὁ νόμος ἀπαγορεύει χεῖρα ὀρέγειν τῇ δί- τοῖς πρ. κῃ, καὶ ἀποκτιννύναι τὸν πονηρότατον, πῶς ἄν τις αὖθις ἐπιτρέψειεν ἀνδρὶ πανούργῳ χεῖρα ὀρέξαι κατὰ τῆς δίκης. ἀλλ᾽ ἐγώ, τό γε εἰς ἐμὲ ἧκον ἅπαν ποιῶ. εὔχομαι καὶ οἴκοι καὶ ἐπὶ τῶν κοινῶν ἱερῶν ὑπάρξειν τῆς ἀδικίας τὴν δίκην, καὶ πονηρίας ἐκκαθαρθῆναι τὴν πόλιν. τοῦτο δὲ ταυτὸν ἐστι τὸν κακὸν κακῶς ἀπολωλέναι καὶ σέ, καὶ δῆλον ὅστις σοὶ παραπλήσιος. ἔστω δέ σοι τοῦτο τεκμήριον, τίς ἂν ἐγινόμην, ἐξὸν τι ποιεῖν, ὃς ἐπειδὴ οὐκ ἔξεστι καταρῶμαι.

Τῷ ἀδελφῷ.

Πολλὰ κἀγαθὰ γένοιτο τοῖς ἱερεῦσιν Αὐξιδιτῶν*, οἳ τῶν στρατιωτῶν καταδεδυ- γρ. Αὐκότων ἐν χηραμοῖς ὁρῶν, καὶ ἀξιούντων τὸ ξουμιτ. αἷμα φρουρεῖν, οἱ δέ, τὸν ἀγροῖκον λεὼν παρακαλέσαντες, ἀπὸ τῶν ἱερῶν αὐτῶν, τὴν εὐθὺ τῶν πολεμίων ἡγήσαντο· καὶ προσευξάμενοι, ὕπαιθρον ἔστησαν ἐν τῇ Μυρσινίτιδι. φάραγξ δὲ αὕτη περιμήκης τε καὶ

βαθεῖα, καὶ ὕλη συνηρεφής· δεῖ ὑπὸ τοῦ
μηδὲν τοῖς βαρβάροις ὅπλον πολέμιον ἀ-
πηντηκέναι, καὶ τὰς δυσχωρίας ἐθάρσησαν.
γρ. δέ γε ἔμελλον δέ που * τὸ μελαμπύγου τεύξεσθαι
κ. Φαύστου τοῦ διακόνου τὴν ἱεράν· οὗτος ἐστιν ὁ
πρῶτος ὑποστὰς ὁπλίτην γυμνός, καὶ παί-
σας ἐκ χειρὸς λίθῳ κροταφιαίαν πληγήν,
οὐ βαλών, ἀλλ' ὥσπερ πὺξ ἐνθορών. πεσόντα
δὲ ἤδη περιδύσας τὰ ὅπλα, συχνοὺς ἐπ'
αὐτοῖς κατείργασται· καὶ ὅστις δὲ ἕτερος ἀνὴρ
ἀγαθὸς ἔδοξεν ἐν τοῖς τότε· Φαῦστον αἰτια-
τέον τῶν γινομένων, καὶ οἷς παρὰ τὸν καιρὸν ἐφ-
θέγγετο. ἐγὼ δὲ καὶ ἅπαντας τοὺς παραγινο-
μένους τοῖς ἔργοις, ἥδιστα ἂν στεφανώσαιμι
καὶ ἀνακηρύξαιμι. πρῶτοι γὰρ ἥψαντο κα-
λῶν ἔργων, δεῖξαι τοῖς καταπεπληγμέ-
νοις, ὅτι μὴ Κορύβαντές εἰσι, μηδὲ τῶν πα-
ρὰ τὴν Ῥέαν δαιμόνων, ἀλλ' ἄνθρωποι,
καὶ πρωτοὶ καὶ θνητοὶ καθάπερ ἡμεῖς. εἰ δὲ τὸ
ἡμεῖς ἄνδρες γινοίμεθα, ἐν τοῖς τοιούτοις, οὐ-
δὲ τὰ δεύτερα γίνοιτ' ἂν ἀφιλότιμα· τυ-
χὸν δ' ἂν καὶ πρωτεῖα συγχωρηθείημεν,

profunda & ſilua conteƈta. Verùm quia nulla arma hoſtibus occurrerant Barbaris, iniquiora loca adire auſi ſunt. Erant autem inuenturi Phauſtum miniſtrum ſacrorum nates nigras habentem. ille eſt qui primus inermis armatum ſuſtinuit, & inflixit comminus lapide temporale vulnus, non telo, ſed tamquam pugno feriens. Cadentem autem cùm ſpoliaſſet iam armis, multos poſt eum interfecit. Ecquis autem alius vir fortis viſus eſt tum? Phauſtum auƈtorem eorum, quæ geſta ſunt, dicere oportet, & ob ea quæ faciebat, & quæ illo tempore loquebatur. Ergo verò & omnes qui interfuerunt illi rei lubentiſſimè coronarem, & prædicarem. Primi enim auſi ſunt pulchra facinora, vt oſtenderent conſternatis, eos non eſſe Corybantes, neque ex dæmonibus, qui apud Rheam ſunt; ſed homines, & vulnerabiles, & mortales ſicut nos. Quòd ſi nos quoq; viri fuerimus, in talib. rebus, ne ſecundę quidẽ partes fuerint ſine gloria, fortaſſe etiã primæ partes nobis cõcederẽtur,

ſi neutiquam inſidiati in valle quindecim prædas agentibus,feliciter nos gereremus: ſed legitimo bello, & aperto belli apparatu multitudine cõtra multitudinem pugnaremus.

Philoſophæ Hypatiæ. 123.

Quamuis mortui obliuioni dentur apud Orcum: attamen ego & illic chari memor ero ſocij. Ab Homero facti ſunt hi verſus: ſententia autem illorum neſcio an ab Achille magis dici debeat,quàm à me de tuo chariſſimo & benemerito capite.Nam ego teſtor Deum, quem philoſophia colit, ſacri tui & dulcis animi medio in corde ſimulachrum circumfero, & obſtrepit meis auribus mirificus doctorum tuorum ſermonum ſonus. Poſtquam veni in patriam ab Aegypto, & duorum annorum epiſtolas ſimul legi, quantam vim lachrymarum profudi in illas litteras! non quia te fruebar per litteras lætabar,

εἰ μὴ λοχήσαντες ἐν φάραγξι πεντεκαίδεκα περιομένοντες ἀτυχήσαιμεν, ἀλλὰ νομίμῳ πολέμῳ καὶ φανεραῖς παρασκευαῖς πλήθει πρὸς πλῆθος ἀγωνισαίμεθα.

Τῇ φιλοσόφῳ Ὑπατίᾳ.

Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο, Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου. Ὁμήρῳ μὲν ἐποιήθησαν οἱ στίχοι· ὁ δὲ νοῦς αὐτῶν, οὐκ οἶδα εἰ Ἀχιλλεῖ περὶ Πατρόκλου μᾶλλον ἄξιος εἰρῆσθαι, ἢ ἐμοὶ περὶ σοῦ τῆς φιλτάτης τε καὶ εὐεργέτιδος κεφαλῆς. ὡς ἐγὼ μάρτυρα ποιοῦμαι θεὸν, ὃν φιλοσοφία πρεσβεύει, τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω, καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαστή σου τῶν σοφῶν λόγων ἠχώ. τῇ πατρίδι δὲ ἐπιδημήσας ἀπὸ τῆς Αἰγύπτου, καὶ δυοῖν ἐνιαυτῶν ἐπιστολὰς ἅμα ἀνεγνωκὼς, πλῆθος ὅσον δακρύων κατέσπεισα τῶν γραμμάτων. οὐ γὰρ οἷς ἀπέλαυόν σου διὰ τῶν γεγραμμένων ἥδομαι,

ἀλλ' ἰώμην ἀναφέρων ἀπὸ τῶν γεγραμμένων τὴν ἔμψυχόν σου συνουσίαν, οἷον φίλου τε ἅμα καὶ παιδὸς ὄντως ζῶντος στερίμην. δεξαίμην οὖν αὖ βαρυτέρους ἀγῶνας ὑπὲρ τῆς πατρίδος ἐθελοντὴς, ἵνα μοι γένοιτο πάλιν πρόφασις ἀποδημίας. ἆρά σε ποτὲ ὄψομαι πάτερ ἀληθῶς γνησιώτατε; ἆρά ποτε, τὴν ἱερὰν σου κεφαλὴν περιπτύξομαι; ἆρα μεθέξω τοῦ συνεδρίου, τοῦ διὰ σὲ μακαρίου; εἰ γὰρ γένοιτό μοι τούτων τυχεῖν, ἀποδείξω μηκέτι μῦθον ὄν-

γρ. ἐπὶ Ἰάσονι τα τὸν ἐπὶ Αἴσονι * τὸν θετταλῷ λόγον, ὃν φασιν οἱ ποιηταὶ δὶς ἀνηβῆσαι νέον ἐκ πρεσβυτέρου γενόμενον.

Τῇ φιλοσόφῳ.

" Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐ-
" δαο, Αὐτὰρ ἐγὼ κἀκεῖθι τῆς φίλης Ὑπατίας μεμνήσομαι. ἔγωγέ τοι τοῖς πάθεσι τῆς πατρίδος περιεχόμενος, καὶ μὴ δυσχεραίνων αὐτὴν ἐφ' οἷς ὁρῶ καθημέραν ὅπλα πο-

γρ. διεφθορότα λέμια, καὶ ἀποσφαττομένους ἀνθρώπους ὥσπερ ἱερεῖα, καὶ τὸν ἀέρα * διεφθαρμένον

ſed angebar, recordans ex ſcriptis viuum tuum congreſſum, quali amico ſimul & verè patre viuo orbatus eſſem. Reciperem certè grauiora negotia pro patria vltro, vt mihi eſſet rurſus occaſio profectionis ad vos. An te aliquando videbo pater verè germaniſſime? An aliquando ſacrum tuum caput amplectar? an particeps ero conſeſſus tui per te beati? Si enim liceat mihi iſta conſequi, oſtendam non amplius eſſe fabulam, quę de Aeſone Theſſalo fertur, quem dicunt poëmata bis repubuiſſe, iuniorem ex ſeniore factum.

Philoſophiæ. 124.

Quòd ſi obliuiſcuntur in Orco mortuorũ: ego tamen illic chariſſimæ Hypatiæ memor ero. Ego certè vndique ſeptus calamitatib. patriæ, nec inuisã habens eam quùd videam in dies hoſtilia arma, & homines iugulari tamquam victimas, & aërem corruptum

traham ex tabe & corruptione cadauerum, & expectans mihi euentura esse alia eiusdem generis. Quis enim bene sperare possit, cùm aër sit tristissimus & obductus vmbra auium carne vescentium; verùm in hac rerum conditione hanc patriam amãs. Quid enim faciam cùm sim Afer, & hîc sim natus, & videam sepulcra auorum non ignobilia? Propter te solam mihi videor contempturus esse patriam, & si otium consequar, demigraturus.

Fratri. 125.

Miseri sumus & infelices propterea quòd abunde possumus diris nos nũciis remunerari. Ecce enim & Battiam populati sunt hostes & Aprosylim attigerunt, & areas, in quibus frumentà erant, incenderunt, & terram vastarunt, & vxores captiuas adduxerunt, masculis autem non pepercerunt. Quamquam prius soliti erant viuos capere pueros. Verùm nunc, vt arbitror, sciunt se pauciores esse numero, quàm vt attri-

ἕλκων ἀπὸ τῆς σήψεως τῶν σωμάτων, καὶ αὐτὸς ἕτερα τοιαῦτα παθεῖν προσεδόκων· τίς γὰρ εὔελπις, ἐν ᾧ καὶ τὸ περιέχον ἐπὶ κατηφέστατον, κατειλημμένον τῇ σκιᾷ τῶν σαρκοφάγων ὀρνέων, ἀλλὰ καὶ ἐπὶ τούτοις φιλοχωρεῖν. τί γὰρ καὶ πάθω Λίβυς ὤν, καὶ ἐνταῦθα γενόμενος, καὶ τῶν πάππων τοὺς τάφους οὐκ ἀτίμους ὁρῶν· διά σέ μοι δοκῶ μόνον ὑπερόψεσθαι τῆς πατρίδος, κἂν λάβωμαι σχολῆς, μεταναστεύσειν.

Τῷ ἀδελφῷ.

Δυστυχοῦμεν οἷς εὐποροῦμεν πονηραῖς ἀλλήλους ἀγγελίαις ἀμείβεσθαι. ἰδοὺ γὰρ καὶ Βατίαν ἐπενείμαντο, καὶ ἀπερσούλεως ἥψαντο, καὶ ἄλως ἐνέπρησαν, καὶ γῆν ἐδῃώσαντο, καὶ γυναῖκας ἠνδραποδίσαντο, ἀρρένων δὲ οὐδεμία φειδώ. καί τοι πρότερον εἰώθεσαν ζωγρεῖν τὰ παιδάρια. ἀλλὰ νῦν, οἶμαι, τὸν ἀριθμὸν ἐλάττους ἴσασιν ὄντες, ἢ ὥστε νέμειν

τῇ λεία φύλακας συχνοὺς, καὶ ἀρκεῖν τοῖς λειπομένοις, ὡς ἐπὶ πόλεμον εἴ τις ἐπεξίοι. ἡμῶν δὲ οὐδεὶς ἀγανακτεῖ, ἀλλ' οἴκοι καθήμεθα, τὴν συχνὴν ἐπικουρίαν τοὺς στρατιώτας προσδεχόμενοι, καὶ τὸ σιτηρέσιον, καὶ τὰς ἐν εἰρήνῃ πλεονεξίας διὰ σώματος ἔχομεν, ὥσπερ τούτοις δικάζεσθαι δέον, ἀλλ' οὐκ ἐκείνοις ἀμύνεσθαι. οὐ παυσόμεθα φλυαροῦντες; οὐ σωφρονήσομέν ποτε, καὶ γεωργοὺς βωλοκόπους ἀθροίσαντες, ὁμόσε χωρήσομεν τοῖς ἐχθροῖς, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ χώρας, εἰ δὲ βούλει καὶ ὑπὲρ αὐτῶν τῶν στρατιωτῶν; καλὸν γὰρ ἐν εἰρήνῃ λαλῆσαι ταῦτα, ὡς ἡμεῖς αὐτοὺς τρέφομέν τε καὶ σώζομεν. ἐγὼ μὲν οὖν μονονοὐκ ἔποχος ὢν ἵππω, τὴν ἐπιστολὴν ὑπηγόρευσα. καὶ γὰρ λόχους καὶ λοχαγοὺς ἐκ τῶν παρόντων ἐποίησα. ἀθροίζεται δέ μοι καὶ ἐν Ἀσουσάμαντι πλῆθος συχνόν. καὶ γὰρ Σοέσταις* ἀπάντων ἐπὶ τὴν Κλεοπάτραν ἀπήγγειλα. ἐλπίζω δὲ ἐπειδὰν περὶ ὁδοῦ γενώμεθα*, καὶ προσαγγελθῇ

γρ. διώσαις·

* ἀλλ. Διοέσταις

γρ. γένωμαι, καὶ

buere possint prædæ custodes multos, & reliqui satis sint, si quis contra eos ad bellum exiret. Nostrum autem nullus indignatur: verùm domi sedemus, ficulneum præsidium milites expectantes, & annonam militarem & commoda in pace in ore habemus, tamquam cum his litigare oporteat, non autem opem ferre illis. Non desinemus nugari? Non resipiscemus tandem aliquando, & agricolis occatoribus collectis obuiam ibimus inimicis, pro liberis, pro vxoribus, pro regione, quòd si vis etiam, pro ipsis militibus? Bonum enim est in pace dici ista, quòd nos illos nutrimus & seruamus. Ego verò propemodum insidens equo hanc epistolam dictaui. nam & manipulos & manipulorum duces ex præsentibus rusticis feci. Colligitur etiam mihi in Asusamante multitudo quædam magna: nam & Soëstis vt mihi præsto essent ad Cleopatram nunciaui. Spero autem vbi ad viam parati fuerimus, & nunciatum fuerit

quoquo verſum, magnam quandam manum collectam eſſe circum me, multo plures fore, qui non vocati venient. Venient enim vndique optimi & fortiſſimi, vt participes ſint præclari facinoris: improbiſſimi autem ad ſpoliorum direptionem.

Aſclepiodoro. 126.

Hei mihi! quid autem, hei mihi! mortalia paſſi ſumus? Tertius certè & reliquus periit ex meis liberis. Verùm decretum, quod nihil ſit in bonis vel in malis numerandum eorum, quæ in noſtra poteſtate non ſunt, adhuc in me ſeruatur. Immo potius iampridem erat diſciplina, nunc autem factum eſt decretum animi in calamitatibus exercitati. oportebat nimirum acerbiorem mihi eſſe calamitatis incurſum, & ob id genius, cui curæ eſt nocere meis, præparauit ne tu adeſſes, mihi charum caput. Sed tandem aliquando venias admirande & deſideratiſſime atque amicorumm ſynceriſſime. Teſtis ſum admi-

νεανικὴ τις συςᾶσα περὶ ἐμὲ δύναμις, πολὺ πλείους ἔσεσθαι τοὺς ἀκλήτους. ἥξουσι γὰρ ἀπολυταχόθεν, οἱ βέλτιστοι μὲν, ἐφ' ᾧ μεταχεῖν ἔργου καλοῦ· οἱ πονηρότατοι δὲ, καὶ ἐπὶ διαρπαγῇ λαφύρων.

Ἀσκληπιοδότῳ.

Οἴμοι· τί δὲ οἴμοι, θνητά τοι πεπόνθαμεν· ὁ τρίτος γὲ καὶ λοιπὸς οἴχεται τῶν υἱέων. ἀλλά τό γε δόγμα ὃ περὶ τοῦ μηδὲν εἶναι τῶν οὐκ ἐφ' ἡμῖν ἀγαθῶν ἢ κακῶν, ἔτι παρ' ἐμοὶ σώζεται· μᾶλλον δὲ πάλαι μὲν ἦν μάθημα· νυνὶ δὲ γέγονε δόγμα ψυχῆς ἐγγεγυμνασμένης ταῖς περιστάσεσιν. ἔδει δὲ ἄρα χαλεπωτέραν μοι γενέσθαι τοῦ πάθους τὴν προσβολήν· καὶ διὰ τοῦτο ὁ δαίμων ᾧ μέλει βλάπτειν τἀμὰ, προσῳκονομήσατο μηδὲ σὲ τὴν φίλην μοι παρεῖναι κεφαλήν. ἀλλ' ἔλθοις ποτὲ θαυμάσιε καὶ τριπόθητε καὶ φίλων ἀδολώτατε. μάρτυς εἰμὶ

ται θαυμαστῷ Μενέλεῳ τῆς περὶ σὲ διαθέσεως. διὰ τοῦτο πολλάκις ἡδέως συνδιημέρευσα, ὅτι σὲ δι' εὐφήμου μνήμης

γρ. ἐτί- διετίθετο, καὶ πολλὰ τῇ ψυχῇ προσκεκυ-
θετο, φὼς, καὶ τοῖς ἐπιζητοῖς ὧδε ἀπάγγειν

αὐτὸν εὐθὺ Τευχείρων· περὶ τὸν μέγαν Ἀσκληπιόδοτον εὐγνώμων τῷ καὶ εὐεργετῶν, ὡς ἐπὶ μεγίστοις εὐεργέτη διατετέλεκεν· ἵν' ἔχωμεν ὕδωρ ψυχρὸν, ὑδρίαν ἢ πίθον ἐκ μαρμάρου ζητῶ, ὅσῳ μείζων, τοσούτῳ κάλλιον. κείσεται δὲ ἐν Ἀσκληπιῷ τῷ ποταμῷ. παρ' αὐτῷ γὰρ κτίζω τὸ ἀσκητήριον, καὶ ἄγρια σκεύη προσευτρεπίζομαι· σὺν θεῷ δὲ εἴλω ἐπιβαινόμενος.

Τῷ ἀδελφῷ.

» Ἀσπίδα, φρύνον, ὄφιν, καὶ λαδικέας περίφευγε, Καὶ κύνα λυσσητὴν, καὶ πάλι λαδικέας·
» ἀλλὰ μετὰ τὸν ἡμερώτατον καὶ φιλοσοφώτατον Πενταδίου τὰς πινακίδας ἃς ἡ πολιτεία σύνθημα ποιεῖται τῆς Αἰγυπτίας ἀρχῆς, Εὐθάλιος ὁ λαδικεὺς ἔχει λαβών. οἶσθα τὸν νεανί-

admirabili Menelao eius erga te beneuolentiæ. Idcirco sæpenumero iucunde dies multos cum eo traduxi, quia te honorifica memoria prosequebatur, & multum animo attentus, & curatoribus nec abducentibus eum recta Teuchyra. Erga magnum Asclepiodotum gratus erat, & gratias agere vt bene merito in maximis rebus perseuerauit. Vt habeamus aquam frigidam, hydriam aut dolium ex marmore quære * quanto maius, tanto erit melius. Ponetur in Asclepio flumine; iuxta illud enim monasterium condo, & pura vasa præparo. Vtinam autem cum Deo * hoc instituerim.

*Deo fauente.

Fratri. 127.

Aspidem rubetam, serpentem, & Ladicenses fuge, & rabiosum canem, & rursus Ladicenses. Attamen post lenissimū & philosophiæ studiosissimū Pentadiū tabellas, quas Respub. facit signum Aegyptiacæ præfecturę, Euthalius Ladicensis accepit. Nosti

adolescentem, vt coniicere licet, qui vixit in aula iisdē quibus nos temporibus. Etenim non sinebant eum latere, neque mores neque cognomentum. Audies Ballantem quendam qui hoc cognomentum nobile non à patre adeptus, verùm ipse quæsiuerat. Postea quam enim, vt arbitror, Lydiæ præfectus factus, sub Rufini temporibus, populabatur & diripiebat res Lydorum. Irascitur Rufinus, & punit mulcta quindecim librarum auri. Præficit milites ex suis satellitibus, vt putabat, fortissimos & beneuolentissimos, vt per vim exactum aurum referrent fideliter ad mensam suam. Quid igitur ad ista Sisyphus? Verùm vereor ne nimium ineptus sim iterum narrans celebrata ac cognita, audisti prorsus par crumenarum, quas equus Eumeli multò magis inter se similes comparasset, in vnam misit obolos æreos: in aliam nummos aureos. Et cùm hanc ostendisset: alte-

νεανίσκον, ὡς εἰκάζειν ἔξεστιν ὑπὸ τοὺς αὐτοὺς ἡμῖν χρόνους ἐπὶ στρατοπέδου διαγαγόντα. καὶ γὰρ οὐκ εἴα λανθάνειν αὐτόν, οὔτε ὁ τρόπος, οὔτε τὸ ἐπώνυμον. Βαλλαντά τινα ἤκουες, οὐ πατρόθεν τῆς σεμνῆς ταύτης προσηγορίας κληρονομήσαντα, ἀλλ' αὐτὸν περιποιησάμενον. ἐπεὶ γάρ, οἶμαι, Λυδίας ἄρχων ἀποδειχθείς, ὑπὸ τοὺς Ρουφίνου χρόνους, ἦγε καὶ ἔφερε τὰ Λυδῶν, νεμεσᾷ Ρουφῖνος, καὶ μέτεισι ζημίᾳ χρυσοῦ λιτρῶν πεντεκαίδεκα· τάττει δὲ στρατιώτας ἐκ τῶν ὑπηρετῶν ὡς ᾤετο τοὺς ἀνδρειοτάτους καὶ εὐνουστάτους, ἐφ' ᾧ σὺν βίᾳ πράξαντας τὸ χρυσίον, ἀνακομίσαι πιστῶς, εἰς τὴν τράπεζαν τὴν αὐτοῦ. τί οὖν πρὸς ταῦτα ὁ Σίσυφος· ἀλλὰ μὴ λίαν ἀπειρόκαλος ὦ, βεβοημένα ἐπιδιηγούμενος· πέπυσαι πάντως τὴν συνωρίδα τῶν βαλαντίων, ἃ τῶν ἵππων Εὐμήλου πολὺ μᾶλλον ἀλλήλοις ἐοικότα κατασκευάσας, τοῦ μὲν ἐνέθηκεν ὀβολοὺς ἐκ χαλκοῦ· τοῦ δὲ στατῆρας χρυσίου. καὶ τοῦτο μὲν δείξας, ἐκεῖνο δὲ

χρίψας, ὡς ἀπειθήμησαν, ὡς ἐζυγοστάτησαν, ὡς κατεσημήναντο τῇ δημοσίᾳ σφραγῖδι τὸ χρυσίον, λανθάνει θάτερον ἀμυηθεὶς, καὶ πέμψας αὐτὴ τὴν στατήρων τοὺς ὀβολούς· οἱ δὲ ὡμολογήκεσαν ἐν δημοσίοις γράμμασιν ἔχειν καὶ διακομίσειν τὸ χρυσίον· κἀκ τούτου Δάφνις παρὰ ποιμέσι πρῶτος ἐγένετο. τοῦτο τὸν Εὐθάλιον ἐπὶ μέγα τύχης ἐξῆρεν· οὐδενὶ γὰρ ἐπέτρεψεν ὁ γέλως ὑπὲρ τῆς πολιτείας ἀγανακτῆσαι· ἀλλ' ὡς ἄνδρα παρὰ τοὺς πώποτε θαυματοποιὸν, ἰδεῖν ἐπεθύμησαν· καὶ ἧκε μετάπεμπτος ὥσπερ εὐεργέτης Ῥωμαίων ὀχήματι δημοσίῳ πομπεύων διὰ τῶν πόλεων. κἀγὼ τὸν θεσπέσιον οἶδα τῶν συνεδρευόντων ἐν τῷ προτεμενίσματι τοῦ βουλευτηρίου λαλίστερον. ἔστι δ' ὅσοι οὐδέπω παραλύσει τῆς ἀρχῆς τὸν ἑταῖρον Πενταπόλεων.

ram quidem occultauit. Vbi milites numerarunt, vbi appenderunt, vbi obsignarunt publico signo aurum, fallit * alteram supponens, & mittens pro aureis obolos. Ipsi verò confessi erant in publicis litteris se habere, & se perlaturos aurum, & ex eo facinore Daphnis apud pastores primus extitit. Hoc Euthalium in magnam fortunam extulit. nulli enim permisit risus pro repub. indignari: verùm vt virum, vltra eos qui vmquam fuissent, præstigiatorem, videre cupierunt. Et venit accersitus & benemeritus de Romanis, vehiculo publico cum pompa incedens per ciuitates. Et ego homunculum scio iis qui vna sedent in curiæ vestibulo loquaciorem. Iste mox adimet præfecturam sodali Pentadio.

* *clam alteram alterius loco posuit.*

Ad Episcopum expulsum episcopatu, qui noluerat assentiri doctrinæ Arrij. 128.

Recuperasti id quod eras, non amisisti. Non enim cum quis impietatis catalogo separatus fuerit, tum & pietatis orbatus est sedibus. Aegypti autem amplectere abalienationem * & puta ad te prophetam magnà voce clamasse. Quid tibi cum terra Aegypti vt bibas aquam Nili? Nam gens illa vetus est hostis Dei & patribus sanctis infesta.

* *Gaude quod ab Ægypto sis alienatus.*

Pylæmeni. 129.

A Platone Socrates introductus est, accedens valde sero ad amores, postulans ab iis ne admirarentur, si quemadmodum, ait, vix cæpi amare sic & vix desinam. Ego autem mihi videor eodem modo animatus esse erga te, & petere eandem veniam

Πρὸς ἐπίσκοπον ἐξωσθέντα τῆς ἐπισκοπῆς μὴ βουληθέντα συνθέσθαι τῷ Ἀρείου δόγματι.

Ἀπέλαβες ὅπερ ἦς, οὐκ ἀπέβαλες. οὐ γὰρ ὅταν τις τοῦ τῆς ἀσεβείας χωρισθῇ καταλόγου, τότε καὶ τὴν τῆς εὐσεβείας ἀπεστέρηται θρόνων. Αἰγύπτου δὲ περιπλύσασου τὴν ἀλλοτρίωσιν, καὶ νόμιζε καὶ πρὸς σὲ τὸν προφήτην μεγαλοφώνως κεκραγέναι, Τί σοι καὶ τῇ γῇ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γεών*. ὃ γε. Γε- γὰρ ἔθνος, θεομάχον ἀρχαῖον, καὶ πατράσι δεών. ἁγίοις πολέμιον.

Πυλαιμένει.

Πλάτωνι Σωκράτης πεποίηται, προσιὼν μὲν ὀψέ ποτε πρὸς τὰ παιδικά, ἀξιοῦν δὲ αὐτὰ μὴ θαυμάζειν, εἰ ὥσπερ, φησί, μόλις ἠρξάμην, οὕτω καὶ μόλις παυσαίμην· ἐγὼ δέ μοι δοκῶ ταὐτὸ πεπονθέναι πάθος πρὸς σέ, καὶ τὴν αὐτὴν δίκαιος εἶναι παραιτεῖσθαι

συγγνώμην, ἐνιαυτὸν ὅλον, οὐκ ἄξιον οὐδὲ ἀληθὲς εἰπεῖν, ἐπισχών, ἀλλὰ μάτην στείλας τὰς ἐπιστολάς, τὰς πάλιν αὐτὰς εἰς τὰς ἐμὰς χεῖρας ἀνακομισθῆναι· νῦν οὖν * ἀθρόας ἐκπέμπω, ἃς οὐ μόνον ὥσπερ φόρων ἐλλείμματα ἀποδιδοὺς μακρηγορῶ, ἀλλὰ καὶ προσθήκην σοι βούλομαι. καί τοι νὴ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ἐπ' αὐτῷ τούτῳ κατέβην ἐπὶ θάλατταν, καὶ τοῖς Φυκουντίων κωπηλάταις διείλεγμαι, χαριστήριος ἱππικήν, ἵνα στείλω πρὸς ὑμᾶς τοῦτο μὲν γράμμα, τοῦτο δέ· ἀλλ' οὐκ ἄξιον ποιεῖσθαι κατάλογον τῶν πεμφθέντων μέν, ὥστε Πυλαιμένην λαβεῖν· ἐν Ἀλεξανδρείᾳ δὲ ἐκτεθέντων διὰ τὸν δυστυχέστατον ἀπόπλουν· καὶ τοῦ μὲν ἕνεκα· καί τοι τῶν ἐκεῖ φίλων ὁ φιλικώτατός μοι Πυλαιμένης ἐστίν. ἀλλὰ νὴ τὴν τιμίαν σου διάθεσιν, ῥᾷον μὲν ἠνέγκα, ἢ δι' ἑτέρους συχνούς, καὶ μάλιστα διὰ τὸν θαυμάσιον Πρόκλον, καὶ Τρύφωνα, περὶ ὧν καὶ μόνων, ὡς προσαγορευόντων με γέγραφας. ἀπέστειλα οὖν τῇ μὲν

γρ. νῦν ἀθρ.

veniam, totum anni, non æquum eſt nec verum dictu, cunctatus; ſed qui fruſtra miſerim epiſtolas, propterea quod illæ ad meas manus relatæ ſunt. Nunc igitur omnes ad te ſimul mitto, quas non ſolum vt tributorum reliqua, reddens, prolixus ſum, verùm etiam præterea volo tibi conferre aliquid. Pet Iouem amicitiæ præſidem tuum & meum ad hoc ipſum deſcendi ad mare, & collocatus ſum cum Phycuntiorum remigibus, omiſſa equeſtri diſciplina, vt mitterem ad vos partim quidem literas, partim etiam munera. Sed non æquum eſt recenſere ea quæ miſſa ſunt, vt Pylæmenes acciperet: quæ autem Alexandriæ expoſita ſunt, propter infelicē nauigationem, & maximè propter te, etſi ex omnibus, quos iſtic habeo amicos, amantiſſimus eſt Pylæmenes. Verùm per honorandam tuam amicitiam facilius tuliſſem, quā ob alios multos, & maximè propter admirandum Proclum & Tryphonem, de quibus ſolis & vt ſalutantibus me ſcripſiſti. Niſi igitur ad hono-

randam tuam beneuolentiam aureos nummos decem: socio autem Proclo, secundum diuinum Hesiodum trientem amplius, iis quæ ab ipso acceperam. Sic se res habet. Cùm peregre essem accepi, ad profectionem cum indigerem, ab eo aureos sexaginta. Scripserat in syngrapha septuaginta, misi autem octoginta. Multo plures etiam fuissent, si primæ litteræ & nauis cum illis oneribus. Nunc autem ego, fortuna quadam vsus Alexandriam profectus sum, & ad vestros portus adpulsuram esse arbitrabar nauim. Ea autem latebat rapidis ventis à Creta vix in Aegyptium mare salua: aut quid vetabat vos quemadmodum gallinas sic & terrestres alere struthiones. Reddi seruis syngrapham ab admirabili patre Proclo æquum est, qui octoginta aureos accepit. Et vt sodalis Troïlus da operam, mittat ad me celerrime libros,

τιμίᾳ σοῦ διαθέσει, χρυσοῦ νομίσματα δέκα· ταῖς δὲ ἑταίρῳ Πρόκλῳ, κατὰ τὸν θεσπέσιον Ἡσίοδον τετραμοίρια πλείω τῶν παρ' αὐτοῦ. ἔχει γὰρ οὕτως. ἀποδημοῦν ἐδεξάμην εἰς τὸν ἀπόπλουν δεῆσον παρ' αὐτοῦ, χρυσίνους ἑξήκοντα. τούτοις γεγραφήκει μὲν ἑβδομήκοντα· ἀπέστειλα δὲ ὀγδοήκοντα. ἐγένοντο δ' ἂν ἔτι πολλῷ πλείους, εἰ τὰ πρῶτα πρὸς ὑμᾶς ἐκεκόμιστο γράμματα, καὶ ἡ ναῦς ἐπ' ἐκείνοις τοῖς τότε φορτίοις. νῦν δὲ ἐγὼ μὲν, τύχῃ τινὶ χρησάμενος ἐπὶ τὴν Ἀλεξανδρέαν ἀπεδήμησα, καὶ τοῖς ὑμετέροις λιμέσι προσορμισθὲν ᾤμην τὸ σκάφος. τὸ δ' ἐλάνθανεν ἐξώσταις ἀνέμοις ἀπὸ Κρήτης μόλις εἰς τὴν Αἰγυπτίαν ἀποσωθὲν θάλατταν. ἢ τί ἐκώλυεν ὑμᾶς, ὥσπερ τὰς διεκβολίδας, οὕτω τὰς χερσαίας πέμψαι στρουθούς. ἀποδοθείη τοῖς ἐμοῖς τὸ γραμμάτιον παρὰ τοῦ θαυμασιωτάτου παιδὸς Πρόκλου δίκαιον, τοὺς ὀγδοήκοντα χρυσίνους κομισαμένου· καὶ τὸν ἑταῖρον Τρωΐλον παρασκεύασον ἀποστεῖλαί μοι τάχιστα ̈ τὰ βιβλία,

γρ. ἐπιστεῖλαί μοι τ. ὅτι κομισάμενος τυγχάνει τ.

ἅπερ ἀποδέδωκας αὐτῷ· τὸ Νικοστράτειον δὲ λέγω, καὶ τὸ τοῦ Ἀφροδισιέως Ἀλεξάνδρου. Εἰ διὰ τὴν ἱεράν σου διάθεσιν φίλοι ἡμῖν οἱ ἄρχοντες ἡμῶν ἐπιδημοῖεν, πρὸς φιλοσοφίαν ἡμῖν συντελέσεις τὸ μέρος τὸ σόν, ὅσον Πλάτων ἡγεῖται παρὰ τῆς ἀτιμίας κωλύεσθαι.

Σιμπλικίῳ.

Ἐχαρίσω Κερεαλίῳ δι' αὐτοῦ προσειπὼν ἡμᾶς, τὸ λαθεῖν ἡμέρας πέντε πονηρὸν ὄντα. ἠλπίσαμεν γάρ τι χρηστὸν αἱ πόλεις περὶ τ' ἀνδρὸς, ὃν οὐχ ἅπαξ ἠξίωσεν εἰδέναι Σιμπλίκιος. ὁ δὲ ταχὺ μάλα ᾔσχυνε, σὲ μὲν οὔ· μὴ γάρ ποτε ἐπ' ἄλλῳ τὰ σὰ γένοιτο· ἑαυτὸν δὲ καὶ τὴν ἀρχήν· καὶ, ἵνα μὴ διατείνω, τὰ Ῥωμαίων πράγματα, ὤνιος ἄνθρωπος, ἐλαχίστου δόξης ἀμελὴς, ἀπόλεμος, ἐν εἰρήνῃ βαρὺς, ἧς πρὸς βραχύτατον ἀπολέλαυκεν. οὐ γὰρ ἐδεήθη χρόνου πρὸς τὸ πάντα ἀνατρέψαι τε καὶ συγχέαι. ὥσπερ

quos ei dedisti: Nicostrati librum dico, & Alexandri Aphrodisiensis. Si ob sacram tuam amicitiam nobis amici, qui imperaturi sunt prouinciæ nostræ veniant, ad studium philosophiæ nobis conferes pro virili, quantum Plato existimat à dedecore & ignominia prohiberi.

Simplicio. 130.

Dedisti Cereali per eum nos salutans, vt ignoraretur diebus quinque improbus esse. Ciuitates enim sperarint boni aliquid à viro, quem non semel prædicauit se cognoscere Simplicius. Ille autem sane celeriter dedecorauit, te quidem non: nunquam enim in alterius potestate res tuæ fuerint, verùm seipsum, & imperium: & ne prolixior sim, Romanorum imperium homo venalis minima mercedula, laudis & gloriæ negligens, belli ignarus, in pace grauis, qua quã minimum ei frui contigit. Non enim opus fuit longo tempore ad subuertenda & perturbanda omnia. Quasi

enim lex esset fortunas militum esse Imperatorum quæ omnes habebant corripiens, vicissim eis dedit vacationem militiæ, & ne in suis essent numeris, permittens ire eo vbi quis existimaret se nutriri posse. Ista cum fecisset vernaculis, quandoquidem non licebat à peregrinis pecunias exigere, exegit pecunias ab eorum vrbibus, ducens & traducens non eo vbi vtilius erat, verùm eo vbi quæstuosius erat; ægre ferentes autem eorum sedem ciuitates aurum conferebant. Hæc celeriter senserunt Macetæ & propagata est fama à semibarbaris ad Barbaros venerunt deinde quot folia & flores verè nascuntur. O iuuentutem quam perdidimus! O fruges quas frustra sperauimus! Seuimus hostili igni. Maior pars nostrum diuitias habebat in pecudibus, in camelis gregalibus & in equabus armentalibus. Omnia perierunt, omnia abacta sunt. Sentio me factum concitatiorem & quodam animi velut impetratu abripi ex calamitate, verũ ignosse mænib. enim sum inclusus & obsessus scribo, sæpe-

γὰρ ὄντος νόμου τὰ τῶν στρατιωτῶν εἶναι τῶν στρατηγῶν, ἃ πάντες εἶχον λαβὼν, ἀντέδωκεν αὖθις ἀστρατίαν καὶ δὴ μὴ σιωπᾶσθαι, βαδίζειν ἐπιτρέψας ἢ τις ᾤετο θρέψαι. ταῦτα τοῖς ἐπιχωρίοις ποιήσας, ἐπεὶ τοὺς ξένους οὐκ ἦν ἀργυρολογεῖν, ἠργυρολόγησεν αὐτῶν τὰς πόλεις, ἄγων καὶ μεθιστὰς, οὐχ ἡ λυσιτελέστερον ἦν, ἀλλ' ἡ κερδαλεώτερον. βαρυνόμεναι γὰρ αὐτῶν τὴν καθέδραν αἱ πόλεις, χρυσίον εἰσέφερον. τούτων ὀξέως ᾔσθοντο Μακέται, καὶ γέγονε διαβόσιμος ἀπὸ τῶν μιξοβαρβάρων εἰς τοὺς βαρβάρους ἡ φήμη· ἦλθον ἐπειδὴ ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ. φεῦ τῆς νεότητος, ἣν ἀπολωλέκαμεν· φεῦ τῶν καρπῶν, οἷς μάτην ἠλπίσαμεν· ἐσπείραμεν τῷ πολεμίῳ πυρί. τοῖς πλείοσιν ἡμῶν δὲ πλοῦτος ἐν βοσκήμασιν ἦν, ἐν ἀγελαίαις καμήλοις, ἐν ἵπποις φορβάσι. πάντα οἴχεται, πάντα ἐλήλαται. αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφορος· ἀλλὰ σύγγνωθι· τειχήρης γάρ εἰμι, καὶ πολιορκούμενος γράφω,

τῆς ὥρας πολλάκις φρυκτοὺς ὁρῶν, καὶ αὐτοῖς ἀνάπτων καὶ αὐτὸς, καὶ αἴρων τοῖς ἄλλοις σημεῖα. κυνηγέσια δὲ ἐκεῖνα τὰ πρόσω κατολμῶν, οἷς ἐπ' ἐξουσίας ἐχρώμεθα πρότερον οὐχ ἥκιστα διὰ σέο, πάντα ἔρρει, καὶ γένομεν μεμνημένοι, ἥβης τ' ἐκείνης, νοῦ τ' ἐκείνου καὶ φρενῶν· ἀλλ' ἱπποκροτεῖται μὲν ἅπαντα, καὶ τὴν χώραν ἔχουσι νῦν οἱ πολέμιοι· ἐγὼ δὲ ὑπὸ μεσοπυργίῳ τεταγμένος, ὑπνομαχῶ. Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος

Γρ. δέ μοι οἶ. Ἰσμαρικός· πίνω δ' ἐν δορὶ κεκλιμένος. οὐκ οἶδα εἰ μᾶλλον Ἀρχιλόχῳ εἰπεῖν ταῦτα προσήκοντα ἦν. κακὸς κακῶς ἀπόλοιτο Κερεάλιος, εἰ μὴ καὶ προαπόλωλε τῆς ἀρχῆς, ὡς ἄξιός γε ἦν ἔργων γεγονέναι τῶν πρώην χειμῶνος· ὃς ἐπεὶ τὴν χώραν εἶδεν ἐν ᾧ κινδύνου κατέστησεν, ἠπίστησε καθάπαξ τῇ γῇ, καὶ τὸ χρυσίον ἐνθεὶς διηρμένοις ὁλκάσιν, ἐπὶ μετεώρου σαλεύει· τὰς δὲ ἐπιστολὰς αὐτοῦ διαφέρει κελήτιον. ταῦτα ἃ δὴ καὶ ποιοῦμεν ἐπιπατούσας εἴσω

τειχῶν

ſæpenumero in hora ignes & faculas videns, & eas etiam ipſe accendens, & tollens aliis ſigna. Venationes autem illas quæ ante & coram me ſunt cogitans, quibus liberè vtebamur, maximè tua cauſa, omnes perierunt: & gemimus memores, iuuentutiſque illius & mentis & prudentiæ. Verùm omnia quidem equis perſtrepunt & regionem nunc tenent hoſtes. Ego ſub interturrio collocatus, cum ſomno belligero. In haſta quidem mihi maſſa mixta, in maſſa vinum Iſmaricum: bibo autem haſtæ innitens. Haud ſcio an magis Archilocho ad dicendum hæc conueniebant. Malus male pereat Cerealis, ſi non ante meam execrationem periit; nam dignus erat qui præda eſſet recentis tempeſtatis: qui poſteaquam vidit in quanto periculo regionem conſtituiſſet, diffidere cœpit omnino terræ, & poſito auro in onerariis nauibus binorum velorum in alto ſtat, in ſalo. Epiſtolas autem eius adfert ſcapha: hæc quæ etiam facimus imperantes nobis vt ſimus intra

mœnia, vt nemo prosiliat ante fossas, neque obuiam eat hominibus inexpugnabilibus. Testatur à crimine purum esse. Vigilias autem constituere docet noctu quatuor, quasi in non dormiendo posita sit spes nostra. Videtur enim esse in talibus doctus, vt homo ad infelicitatem accommodatus. Quamquam nobiscum neque particeps calamitatum esse voluerat. Non enim ad propugnacula quemadmodum ego Synesius philosophus, verùm ad remum dux stat. Si igitur poëmata desideras, quæ petiisti etsi nos nullius boni nobis conscij sumus, nisi ipsius argumenti, optate vt Cyrenæi paululum absint ab armis. Nam vt nunc sumus, non licet promere ex arculis libros.

Pylæmeni. 131.

Geometricas definitiones verissimas existimato, præsertim cum & aliis sciẽtiis suppetat gloriari, si exiguũ quid ad demonstrationes suas ex geo-

τειχῶν ἐστὶ, μηδένα περιπηδᾶν τὴν τάφρον, μηδὲ ὁμόσε χωρεῖν ἀμάχοις ἀνθρώποις· ἢ διαμαρτύρεται καθαρὸς αἰτίας εἶναι. Φυλακὰς δὲ καθιστάναι διδάσκει τῆς νυκτὸς τέτταρας, ὡς ἐν τῷ μὴ καθεύδειν οὐσῶν τῶν ἐλπίδων. ἔοικε γὰρ εἶναι τὰ τοιαῦτα σοφὸς, ἅτε ἐπιτήδειος ἀτυχεῖν ἄνθρωπος. καί τοι γε ἡμῖν οὐδὲ μετέχειν ἠβουλήθη τῆς συμφορᾶς. οὐ γὰρ περὶ ἔπαλξιν ὥσπερ ἐγὼ Συνέσιος ὁ φιλόσοφος, ἀλλὰ παρὰ κάπην ὁ στρατηγὸς ἵσταται. εἰ δὴ τῶν ποιημάτων ἐρᾷς ἄπερ * ἤτησας· καί τοι γε ἡμεῖς οὐδὲν αὐτοῖν συνοίσομεν ἀγαθὸν, ὅτι μὴ τὴν ὑπόθεσιν· συνδόξαι Κυρηναίοις μικρὸν ἀπὸ τῶν ὅπλων γενέσθαι. ὡς γὰρ νῦν ἔχομεν, οὐκ ἔστιν ἀπὸ κιβωτίων ἐξεράσαι * βιβλία.

γρ. ἤλπισας

γρ. ἐξάρασθαι

Πυλαιμένει.

Τοὺς γεωμετρικοὺς ὅρους, ἀληθεστάτους ἡγοῦ, ὅτε γε καὶ ταῖς ἄλλαις ἐπιστήμαις ὑπάρχει σεμνύνεσθαι, κἂν καταμικρὸν εἰς τὰς ἀποδείξεις αὐτῶν ἐκ γεω-

μετρίας τι συμποιήσωνται. ἔστι δήπου τὶς
γρ. αὐτή. ἐν αὖθις* λόγος ἀξιῶν τὰ τῷ αὐτῷ τὰ αὐ-
λ. τὰ, καὶ ἀλλήλοις εἶναι δεῖν τὰ αὐτά. ἐμοὶ δὴ
σὲ μὲν ὁ θεῖος ἐποίησε φίλον, τὸν δὲ θαυ-
μάσιον Διογένην, καὶ ἡ φύσις. ἄμφω δὲ ἐ-
νὸς ἐστὲ φίλοι· δεῖ δὴ καὶ ἀλλήλων ὑμᾶς
ἐξηρτῆσθαι, καθάπερ* ἐμοῦ τοῦ μέσου. συ-
νάπτω τοιγαροῦν ὑμᾶς ἀλλήλοις διὰ τῆς
ἐπιστολῆς, μεθ' ἧς ἑαυτὸν μὲν ἐπιδώσει τῇ
φιλίᾳ τῆς σῆς σεμνοπρεπείας ὁ θαυμάσιος
Διογένης· ἀντιλήψεται δὲ, εὖ οἶδ' ὅτι, τὸν
ἐμὸν Πυλαιμένην. καλῶν γὰρ ἐμὸν, οὔτε αἰ-
σχύνειν, οὔτε αἰσχυνθείην φήσαιμ' ἂν ἔγω-
γε· ὅτι δὲ διὰ σοῦ καὶ τοὺς ἄλλους ἕξει τοὺς
ἐμὲ ἀγαπῶντας φίλους, ὅσοις δὲ δυνάμεις
γρ. δυν. * ἐστὶ καὶ χρησίμους, οὐκ ἂν δίκαιος εἴην, εἰ
καὶ χ. ἀμφιβάλλοιμι· δεῖ δὲ αὐτὸν* φίλων χρησί-
μων εἴπερ τῳ πώποτε. τὰ γὰρ κατ' αὐτὸν
ὡς ἐν βραχυτάτοις, οὕτως ἔχει. νέος ἐστὶν
ἁπλοῦς καὶ γενναῖος, θυμοειδὴς καὶ πρᾶος,
οἵους ὁ Πλάτων ἀξιοῖ τῆς ἑαυτοῦ πόλεως
τοὺς φύλακας εἶναι. ἐστράτευται γέτοι καὶ σὺν

metriâ comparauerint. Eſt verò ratio quædam poſtulans, quæ eidem eadẽ ſunt, etiam inter ſe oportere eadem eſſe. Mihi certè mores te fecerunt amicum, admirandum autem Diogenem & natura: ambo vnius eſtis amici. Oportet igitur etiam inter vos deuinctos vos eſſe, quemadmodum ex me medio. Concilio igitur vos mutuo per hanc epiſtolam, cum qua ſeipſum tradet amicitiæ tuæ amplitudinis admirandus Diogenes. Inuicem autem accipiet, ſat ſcio, meum Pylæmenem. Appellans enim meum, neque ei dedecori eſſe, neque ab eo dedecore affici, equidẽ dixerim. Quòd autem per te & alios habiturus ſit, qui me diligunt, amicos quibus poteſtas eſt & vtiles iniquus eſſem, ſi dubitarem. Opus autem eſt ei amicis vtilibus & fructuoſis, ſi cui opus vnquam fuit. Eius enim negotia, vt breuiſſimis verbis complectar, ſic ſe habent. Iuuenis eſt ſimplex & ſtrenuus, animoſus & lenis, quales Plato vult ſuæ ciuitatis cuſtodes eſſe. Ac ſanè militauit iſte valde

adolescentulus existens. Paulo post quam ex ephœbis excessit, gessit præfecturam exercituum, in discrimen vocatus coram arbitris & testibus inuidis. Tales sunt ciues aduersus omnes qui felices sunt. Sed ille seipsum præbuit superiorem inuidia. De quo multa quidem alter* dixisset. Verùm enimuero videmur pariter nos habere, ego ad laudandum, iste vt laudetur: vt paucis complectar, vicit armis hostes patriæ, virtute improbos qui in ea sunt. Iuuenis magistratum adeptus, non dedecorauit philosophi propinquitatem. Cùm talis sit, in rebus versatur molestis, vel maximè quia & probus & bonus sit. Lucrum est enim improborum, omnis qui probus est, & quæstus ac reditus improbis ex altera parte accedit. Delator igitur aliquis volens mercedem ferre ab eo, & non consecutus, litem ei intendit: postquam autem non succedebat hac via, vt an ferret aliquid non suum, verùm essent leges nobiscum, in aliam viam flexit, & facit litem accusationē, minitatus

nempe qui eius propinquus non esset.

κομιδῇ μειράκιον ὤν. ἄρτι δὲ ἐξ ἐφήβων ἦρξε παρ' ἡμῖν τὴν τῶν στρατευμάτων ἀρχήν, παραβαλλόμενος ἐπὶ βασκάνων μαρτύρων· τοιοῦτοι γὰρ οἱ πολῖται, πρὸς ἅπαν τὸ εὐτυχοῦν· ἀλλ' ἔδειξεν ἑαυτὸν παρέσχε καὶ φθόνου κρείττω· περὶ οὗ πολλὰ μὲν ἂν ἕτερος εἶπεν· ἀλλ' ἐοίκαμεν γὰρ ὁμοίως ἔχειν ἐγώ τε πρὸς τὸ ἐπαινεῖν, καὶ ἐκεῖνος πρὸς τὸ ἐπαινεῖσθαι. συνελόντι δὲ, ἐνίκησεν, ὅπλοις μὲν τοὺς τῆς πατρίδος ἐχθρούς· ἀρετῇ δὲ τοὺς ἐν αὐτῇ πονηρούς. νέος ἐν ἐξουσίᾳ γενόμενος, οὐκ ἤρνησε φιλοσόφου συνήθειαν. τοιοῦτος ὢν πράγμασιν ὁμιλεῖ δυσκόλοις, δι' αὐτὸ οὐχ ἥκιστα τὸ καλὸς καὶ ἀγαθὸς εἶναι. ἔρημοι γάρ εἰσι τῶν κακοήθων, ἅπας ἐπιεικής· καὶ ἡ πρόσοδος τοῖς πονηροῖς ἐκ τῆς ἑτέρας μερίδος παραγίνεται. ἐνδείκτης οἷον τις ἀξιῶν μισθοδοτεῖσθαι παρ' αὐτοῦ καὶ μὴ τυγχάνων, δίκην πρὸς αὐτὸν ἔλαχεν· ὡς δὲ οὐ προυχώρει ταύτῃ τὸ πρᾶσαί τι τῶν οὐ προσηκόντων, ἀλλ' ἦσαν οἱ νόμοι μεθ' ἡμῶν, ἑτέραν ἐτράπετο. καὶ

ποιεῖται τὴν δίκην γραφὴν, ἀνατεινάμενος ἔγκλημα τοῦ κατηγορουμένου πρεσβύτερον. ἥκει δὴ ὃ κληθῆναι φθάσας. οὐ γὰρ ἄξιον ἀποδοῦναι θανατῶντι γε συκοφάντῃ, καὶ περιέσθαι τὰ πατρῷα τε καὶ τὰ παππῷα μετὰ δόξης ἀγαθῆς. πρὸς ταῦτα, δεῖται φίλων ἀδόλων, ἀκαπηλεύτων, νοῦν ἐχόντων, οἷος εἶ σύ. ἕξει δὲ, σὺν θεῷ εἰρήσθω, σὲ μὲν δι᾽ ἐμοῦ, διὰ σοῦ δὲ τοὺς φίλους τοὺς ἐμούς τε καὶ τοὺς ὧν ὅ, τι ἄν τις αὐτὸν* ἀγαθὸν εἰς αὐτὸν ἐργάσηται, τούτου τὴν χάριν ὀφείλειν ἐγὼ δίκαιός εἰμι.

Τῷ ἀδελφῷ.

Τὸ μὲν τὰς γυναῖκας βοᾶν καὶ στερνοτυπεῖσθαι, καὶ σπαράττειν τὰς κόμας, ἐπιφανέντων ἢ προσαγγελθέντων πολεμίων, ἧττον ἂν δόξειε δεινόν· καί τοι καὶ τοῦτο δεινὸν ὁ Πλάτων οἴεται, ὃ μηδὲ ὥσπερ τὰς ὄρνις ἐθέλειν ἀμυνομένας ὑπὲρ τῶν νεοττῶν πρὸς ὁτιοῦν τῶν δεινοτάτων αἰτίσασθαι, ἀλλὰ δόξαι καταισχύνειν τοῦ τῶν ἀνθρώπων γένους, ὅτι πάντων θηρίων ἀτολμότατον γέγονε.

crimen eo ipſo, qui accuſabatur, antiquius. Abit igitur ad vos antequam accuſatus. Non enim æquum eſt cedere calumniatori mortem cupienti, & relinquere patria & auita bona cum turpi fama: quamobrem indiget amicis ſinceris & incorruptis & prudentibus, qualis es tu. Habebit autẽ, cum Deo dictũ ſit, te quidem per me, per te autem & meos & tuos amicos. Quorum quodcumque bonum aliquis in eum contulerit, me eius rei gratiam debere æquum eſt.

Fratri. 131.

Mulieres quidem vociferari, & pectora plangere, & laniare coma, cùm viſi ſunt, aut antenũtiati hoſtes, minus graue videatur. Quamquam Plato exiſtimat & hoc graue, quod nolint mulieres tamquam ciues propugnantes pro ſuis pullis aduerſus quoduis ferociſſimorum animalium, repugnare, ſed fundant opinionem in hominum genus quod extitit omnium animalium pauidiſſimum.

Quòd autem etiam tu pecces in eodem cum illis mulieribus, & noctu expauescas, & exsurgas, & clames stare Barbarum ad ipsam castelli portam (talia enim quispiam de te nunciauit) quo pacto adhuc ista ferri possunt? Tametsi videtur abhorrere meum fratrem, deinde timidum esse. Ego verò statim exorto die equo euectus quam longissimè fieri potest, & auribus & oculis res omnes horum abactorum peruestigo. non enim æquum est vocare eos hostes, verùm latrones, grassatores, aut tali aliquo nomine valde humili, qui neminem eorum, qui in illos fortiter feruntur, sustinent, sed solos pauidos iugulant, quemadmodum victimas, & exuunt. Noctu autem cum iuuentute lustro tumulum, & præbeo mulieribus dormiendi securitatem, scientibus quod pro ipsis aliqui vigilent. Adsunt verò & mihi milites ex cohorte Balagritarum: hi antequam Cerealis præfectus es-

τὸ δὲ καὶ σὲ ταῦτα ἐκείναις πλημμελεῖν, καὶ νύκτωρ ἐκδειματοῦσθαι καὶ διανίστασθαι καὶ βοᾶν παρ' αὐτὴν τοῦ φρουρίου τὴν θύραν ἑστάναι βαρβάρους· τοιαῦτα γάρ τις ἀπήγγειλε περὶ σοῦ· πῶς ἔτι ταῦτα οἰστά· κἂν ἀλλοίως ἔοικεν εἶναι, ἐμὸν ἀδελφὸν ὄντα, ἔπειτα δῆλον εἶναι. ἔγωγέ τοι περιανατειλάσης εὐθὺς ἡμέρας ἐξιππασάμενος, ὡς ἀνυστὸν πορρωτάτω, καὶ ὠσὶ καὶ ὀφθαλμοῖς τὰ κατὰ τοὺς ἀπελάτας τούτους ἅπαντα πολυπραγμονῶ. οὐδὲ γὰρ ἄξιον καλεῖν αὐτοὺς πολεμίους, ἀλλὰ λῃστὰς ἢ λωποδύτας, ἤ τι τοιοῦτον ὄνομα μικροπρεπέστατον, οἳ μηδένα τῶν ἐρρωμένως ἐπιφερομένων ὑφίστανται, ἀλλὰ μόνους τοὺς καταπλῆγας ἀποσφάττουσιν, ὥσπερ ἱερεῖα, καὶ περιδύουσι· νύκτωρ δὲ μετὰ τῶν ἐφήβων περιπολῶ τὸν λόφον, καὶ παρέχω ταῖς γυναιξὶ τοῦ καθεύδειν ἄδειαν, ἐπισταμέναις, ὅτι περὶ αὐτῶν τινὲς ἐγρηγόρασι. πάρεισι δέ μοι καὶ στρατιῶται τῶν Βαλαγριτῶν τάγματος· οὗτοι πρότερον μὲν ἦ Κερεάλιοι

ἀρχὴν, ἥσαν ἱπποτοξόται· τούτου δὲ κατασάντος εἰς τὴν ἀρχὴν, ἀπημπολημένων αὖθις τῶν ἵππων, ἐγένοντο μόνον τοξόται. ἐμοὶ δή οὗτοι ἀπογεγράφασι καὶ ἄνιπποι. δεῖ δὲ τοξείας ἡμῖν ὑπὲρ φρεάτων, ὑπὲρ τοῦ ποταμοῦ. ὕδωρ γὰρ οὐκ ἔχομεν εἴσω τοῦ περιβόλου· ἐπεί τις *ἐκώλυε διαφέρειν τὴν πολιορκίαν αὐλουμένους τε καὶ κωμάζοντας. νῦν δὲ ἢ κρατεῖν δεῖ μαχομένους ἢ ἀποθνήσκειν εἰς χεῖρας ἰόντας τοῖς πολεμίοις ἀντὶ τοῦ δίψην· οὗ τί ἂν ἐλεεινότερον γένοιτο. ὥστε κἂν ὑπ' ἀνάγκης, ἄνδρες εἴημεν ἀγαθοί, καὶ σὺ δὴ προθυμοῦ, καὶ ἑτέρους παρακάλει, καὶ τὸ ζεῦγος τῶν ἵππων τῶν ἀδηφάγων τῶν ἐπὶ τῷ φόρῳ τρεφομένων, ἄγεσθαι κέλευε παρὰ σέ. πάντος μᾶλλον ἐν τοῖς τοιούτοις καιροῖς, ἵππος οὐκ ἀχρεῖον τὸ κτῆμα. καὶ γὰρ προδραμεῖν τε καὶ κατασκέψασθαι, καὶ ἀπαγγεῖλαι δι' ἐλαχίστου, πάντα ταῦτα ἵππος δύναται ῥᾳδίως ποιεῖν· κἂν δέῃ σοι τοξοτῶν, μεταπέμπου, καὶ ἥξουσι. τοὺς γὰρ κωπέας τοὺς Φυκουντίους,

γρ. τί γε ἐκώλ.

ſet, ex equo ſagittarij erant, iſto autem in præfectura conſtituto, venditis ipſis equis, fuerunt ſolum ſagittarij. mihi tamen ſatis ſunt ſine equo. Opus verò nobis eſt ſagittariis pro puteis, pro flumine, non enim aquam habemus intra munimenta, alioqui quid vetabat producere obſidionem tibias audientes & comiſſantes. Nunc ſanè aut vincere oportet pugnantes, aut occumbere manus conferentes cum hoſtibus, ne ſiti moriamur, quo quid miſerabilius eſſe poſſit? Proinde vel ex ipſa neceſſitate viri ſimus fortes, & tu ſanè alacri & prompto ſis animo, & alios hortare, & par equorum edacium qui ad tributum nutriuntur ad te adduci iube. præ omni alia re hiſce temporibus equus eſt res vſui. etenim præcurrere, ſpeculari & explorare ac renuntiare temporis momento, hæc omnia equo facilia factu, & ſi opus ſit tibi ſagittariis, accerſe & venient. nam in remigibus Phycontiis,

ne satis quidem fidei sociis habeo, nec in hortulanis, qui apud me quæro viros paucos, non mentientes verùm, ac si nanciscar tales, cum Deo dictum quidem sit, in his confido. Si autem oporteat mori, sic philosophiæ vtilitas & fructus est, non existimare graue & acerbum recedere à sacculo caruncularum. An verò erga vxorem & filiolum inflexibilis futurus sim, istud vero nõ admodum promitto, quasi velim hæc philosophiam posse. verùm vtinam ne aliquando id experiar, ne ô saluator, ne ô liberator.

Olympio. 133.

Heri & paullo ante his consulibus, qui modo facti sunt, quorum alter est Aristanetus, collegam enim non noui, accepi epistolam, quam ad me miseras obsignatam, inscriptam tuo sacri tui capitis nomine. coniicio autem ipsam esse perueterem, & quia à tineis exesa est, & quia con-

οὐδ' ἐγὼ θαρρῶ συμμάχοις, ὥσπερ οὐδὲ τοῖς πρὸ ἐμοὶ κηπωροῖς. ζητῶ δὲ ἄνδρες ὀλίγοις οὐ ψευδομάχοις τὸν ἄνδρα· κἂν ἐπιτύχω τοιούτων, σὺν θεῷ δὲ εἰρήσθω, θαρρῶ. δεῖσθαι δὲ ἀποθνήσκειν, ἐνταῦτα τὸ φιλοσοφίας ὄφελος τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλακίου τῶν κρεϋλιων· εἰ δὲ πρὸς τὴν γυναῖκα καὶ τὸ παιδίον ἀπειθὴς ἔσομαι, τοῦτο δὲ οὐ σφόδρα διεσχυρίζομαι· ὡς ἔγωγε βουλοίμην ἂν τοσαῦτα φιλοσοφίαν δύνασθαι. ἀλλὰ μήτοι ποτὲ διαπείρας λάβοιμι, μή, ὦ σῶτερ, μὴ ὦ ἐλευθέριε.

Ολυμπίῳ.

Χθὲς καὶ προεῖδον ἐπὶ τῶν ἔναγχος ὑπάτων, ὧν ἅτερος ἐστὶν Αἰρεσάρετος· τὸν γὰρ συνάρχοντα ἀγνοῶ· κατασεσημασμένην ἐχομιζάμην ἐπιστολήν, τὸ σὸν τῆς ἱερᾶς κεφαλῆς ἐπιγεγραμμένην ὄνομα· τεκμαίρομαι δὲ αὐτὴν εἶναι παμπάλαιον, πρότε διριπηδέσατον γεγονέναι, καὶ πρὸ συγ-

κεχύσθαι τὰ πλείονα τῶν γραμμάτων. ἐγὼ δὲ ἠξίουν μὴ καθάπερ δασμόν τινα ἐτήσιον, τὴν ἐπιστολὴν πέμπεσθαι, μηδὲ ἕνα ποιεῖσθαι διακομιστὴν μόνον τὸν φίλτατον Σύρον. οὕτω γὰρ συμβαίνει ὃ μηδὲ νεαροῖς, ἀλλ' ἑώλοις αὐτοῖς περιτυγχάνειν. ὥσπερ οὖν ἐγὼ, καὶ αὐτὸς οὕτω ποίει. οὐδεὶς βασιλέως ἀγγελιαφόρος δημοσίαν ἵππον ἀμείβων ἔξεισι τῆς πόλεως, ᾧ μὴ τὰ πρὸς τὴν σὴν λογιότητα μέρος γίνεται τοῦ κατόπιν φορτίου. εἰ μὲν οὖν ἀποδιδόασιν, ἢ πάντες, ἢ τινὲς αὐτῶν, πολλὰ κἀγαθὰ τοῖς ἀποδιδοῦσι γένοιτο, χρηστοῖς οὖσιν. εἰ δὲ μὴ, καὶ ταύτῃ σὺ σοφώτερος, ἀπιστῶν οἷς ἄξιον. ἀλλ' ἵνα μηδὲ ἡμεῖς μάτην κόπτωμεν τὸν
γρ. τὰς ὑπογραφέα, τὰς *ἀποδοθησομένας ἐπιστο-
σώκα. λὰς ὑπαγορεύοντες, μαθεῖν ἀξιῶ. μεθαρμοσόμεθα γὰρ τοῦ λοιποῦ. καὶ μόνῳ πιστεύσω τῷ Πέτρῳ. ταύτην γέ τοι τὴν ἐπιστολὴν, Πέτρος ὁ μιᾶς διακομιεῖ, τὸ διὰ μέσης λαβόντα τῆς ἱερᾶς χειρός. στέλλω γὰρ αὐτὴν ἀπὸ Πενταπόλεως ἐγὼ πρὸς τὴν διδά-

confusæ sunt plures literæ; ego tamen æquum censebam non tanquam tributum quoddam animum, eam epistolam ad me mitti; neque vnum solum fieri tabellarium amicissimum Syrum: sic enim eueniet vt ne legam eas recentes, sed obsoletas & veteres. quemadmodum igitur ego, & ipse sic facito. Nullus regis tabellarius publicum mutans equum exit ex vrbe, cui non literæ ad tuam facundiam pars fiant postici oneris. si quidem igitur reddunt aut omnes, aut nonnulli eorum, multa & bona iis, qui reddunt, eueniant, cùm boni sint viri: sin secus, etiam sic tu sapientior, diffidens quibus diffidere oportet: sed vt ne nos frustra obtundamus amanuensem, dictantes epistolas, quæ non redduntur, cognoscere id cupio: aliter en posthac faciemus, & soli committam Petro. hanc certè epistolam Petrum arbitror perlaturum, à media quam accipiet sacra manu. mitto igitur eam Pentapoli ego ad ma-

διδάσκαλον τὴν κοινήν. αὕτη δὲ ὅπῃ βού-
λεται δώσει· βουλήσεται δὲ, εὖ οἶδ' ὅτι, παρὰ
γνωριμωτάτῳ παραγαγεῖν. καὶ γὰρ οὐδ' ἴσ-
μεν ὦ φίλτατε καὶ θαυμάσιε, εἰ ἐς πάλιν
ἕξεσι προσειπεῖν ἡμᾶς ἀλλήλους. κακίᾳ γὰρ
στρατηγῶν, ἀμαχεὶ γέγονε τῶν πολεμίων ἡ
χώρα, καὶ μόνοι ζῶμεν ὅσοι τὰ ἐρυμνὰ κα-
τειλήφαμεν, τῶν ἐν τοῖς πεδίοις κατειλημ-
μένων, ὥσπερ ἱερείων ἀπεσφαγμένων· δέ-
διμεν δὲ τὴν προσεδρίαν αὐτῶν μὴ χρο-
νία γινομένη, δι' ἧς παραστήσηται τὰ πολ-
λὰ τῶν φρουρίων. ταύτῃ καὶ τοῖς προστεμενίσ-
μασι τοῖς περὶ τῶν δώρων οὐκ ἀπεκρινά-
μην. οὐ γὰρ μοι σχολὴ, πρὸς τινι μηχανῇ
τὸν νοῦν ἔχοντι. κατασκευάζομαι γὰρ, ὡς ἂν
ἀπὸ τῶν πύργων ἐκηβολώτατα πέμποιμεν
ἀξιόλογα λίθων βάρη. ἅμα δὲ καὶ ἐν-
δίδωμί σοι πέμπειν μοι δῶρα· δεῖ γὰρ
ἔχειν Ὀλυμπίῳ Συνέσιον· μὴ μέντοι
τρυφῶντα δῶρα. καὶ γὰρ καὶ τότε τὴν
τρυφὴν ἐμεμψάμην τῶν καταλυμά-
των τοῦ συσσιτίου. ἀλλ' ἔστω στρατιωτικά;

τόξα καὶ βέλη, μετὰ τῶν συναγκίων μέντοι τὰ βέλη. τόξα μὲν οὖν καὶ ἑτέρωθεν ὠνησαίμην, καὶ τὰ ὄντα ἀνακτησαίμην· βέλη δὲ οὐ ῥᾴδιόν ἐστι πορίσασθαι· εὔκολα ὥστε καὶ ἐπιτήδεια. τὰ γὰρ Αἰγύπτια ταῦτα τοῖς γόνασιν οἰδοῦντα, τοῖς παραγωνατίοις συνιζάνει. ταύτῃ καὶ σφάλλεται παρ' ἑαυτῶν. ἔοικε γὰρ τοῖς ἐκ πρώτης ἀφετηρίας ἐμποδιζομένοις τε καὶ προσκόπτουσι. τὰ παρ' ὑμῖν δὲ, εὐμήκη τέ ἐστι καὶ ἀκριβῶς εἰς ἑνὸς κυλίνδρου σχῆμα στρογγύλλεται· ὅπερ ὁ πολύ ἐστιν εἰς εὐθυπορίαν τῆς πλήσεως. ταῦτά μοι πέμπειν· καὶ χαλινοὺς ἵππων ἀγαθοὺς εἰς χρῆσιν· ἐπεὶ καὶ τὸν ἵππον τὸν ἰταλὸν ὃν ἐπῄνεσας τῇ γλώττῃ τῇ καλῇ, σφόδρα ἂν εἶδον ἡδέως· ἐπειδὴ καὶ πατέρα πολλῶν ἀγαθῶν ἡμῖν αὐτὸν ὑπισχνοῦ. οὐ μὴν ἀλλὰ καὶ κάτω που τῆς ἐπιστολῆς, μετὰ τὴν ὑπογραφὴν εὗρον ὅτι μὲν ἔδησε τὸν ἵππον ἐν τῇ Σελευκείᾳ, τοῦ ναυκλήρου διὰ τὸν καιρὸν παραιτησαμένου τοιοῦτο φορτίον. ἐπειδὴ δὲ μήτε τὴν λέξιν ἐπέγνων ἀδελφοῦ οὖσαν τῆς σῆς, μήτε τὴν χεῖρα, μήτε τὴν

arcus & ſagittæ, ſagittæ potiſſimum ſuo ferro cuſpidatæ. arcus ſanè quidem & aliunde emere eſt, & quos habeo poſſum reficere: ſagittas verò nō facile eſt comparare, non ſanè vt ſint aptæ. Ægyptiæ enim genibus tumidis & internodiis graciles ſunt: ob id etiam vacillant à ſeipſis, & titubant; ſimiles enim ſunt impeditis à primis carceribus, & offendentibus. veſtræ autem & longæ ſunt & diligenter in vnius cylindri formam rotundantur, quod omnino facit ad certum curſum volatus. Eas mihi mittas, & frenos equorum bonos ad vſum. deinde & equum Italum quem egregio ſermone laudaſti, perlubenter vidiſſem: verumtamen & ſub epiſtola alibi poſt ſubſcriptionem, inueni manere oportere eum equum in Seleucia, nauiculatore propter tempus recuſante tale onus. Poſteaquam autem neque dictionem agnoui tuæ ſimilem, & germanam, neque manuum, neque ele-

gantiam scripturæ, æquum putaui certiorem te ea de re faciendum. incommodum namque sit, si talis equus neque mihi neque tibi sit saluus.

Pylæmeni. 134.

Accepi epistolam, in qua rursum accusasti fortunam, vt quæ nihil humanius de te, quàm antea deliberarit. ne tu ô sociorum amicissime, non enim decet insimulare, sed consolari. licet verò tibi qui tales sis, te recipere ad nos. germanam reperies familiam. non sumus opulenti, ô bone, sed præsentes facultates sufficiunt & Pilæmeni & mihi. Si verò & tu adfueris forsan & ditescemus: ex paribus copiis alij supra modum habent, ego autem malus paterfamilias. sed interim resistit ingenti negligentiæ & incuriæ patrimonium, quod nutrire potest me philosophum, non qualecunque existimato si acceperim & prudentiã. Hæc ad te de his scribo, & ne

ἀκρίβειαν τῆς γραφῆς, ἐδικαίωσα, μὴ ἀγνοεῖσθαί σοι τοῦτο. ἄτοπον γὰρ, εἰ τοιοῦτος ὢν ὁ ἵππος μήτε ἐμοὶ, μήτε σοι σώζοιτο.

Πυλαιμένει.

Ἐδεξάμην τὴν ἐπιστολὴν, ἐν ᾗ πάλιν ἐμέμφω τὴν τύχην, ὡς οὐδὲν περὶ σοῦ βεβουλευμένην φιλανθρωπότερον. μὴ σύ γε ὦ φίλτατε ἑταίρων· οὐ γὰρ ἄξιον ἐγκαλεῖν, ἀλλὰ παραμυθεῖσθαι. ἔξεστι δὲ ὄντι τοιούτῳ, ἥκειν πρὸς ἡμᾶς. ἀδελφὸν εὑρήσεις οἶκον. οὐ πλουτοῦμεν ὦ 'γαθὲ, ἀλλὰ τὰ παρόντα ἀρκεῖ καὶ Πυλαιμένει κἀμοί· εἰ δὲ καὶ σὺ παρέσῃ, τυχὸν καὶ πλουτήσομεν. ἀπὸ τῶν ἴσων ἀφορμῶν ἕτεροι πλείω τῶν μετρίων ἔχουσιν· ἐγὼ δὲ κακὸς οἰκονόμος· ἀλλὰ τέως ἀντέχει καὶ πρὸς τὴν ἀκριβεστάτην ἀμέλειαν τὰ πατρῷα, ἃ δὴ δύναται βόσκειν φιλόσοφον, μὴ τὰ τυχόντα ἡγοῦ προσλαβόντα καὶ προνοίας. ταῦτα περὶ τούτων καὶ μὴ

εὐφημείσθω τῆς ἐν ἀρχαῖς ὁ μωνύμου τετρακτύος ἡ φύσις. ἐν τῷ τετραδίῳ τῶν ἰαμβείων εὑρεν ἐπὶ τέλους τοὺς δώδεκα στίχους γραφέντας ἅμα, ὡς ἓν ὂν ἐπίγραμμα. ἐπεὶ οὕτω σε εἰκὸς ἔχειν αὐτοὺς, ἴσθι ὡς οὔτε ἕν εἰσιν οὔτε ἑνός· ἀλλ' οἱ μὲν ὀκτὼ πρῶτοι μετ' ἐπιστήμης γραφέντες ποιητικῆς, μιγείσης ἕξεως ἀστρονομικῆς, εἰσὶ τοῦ σοῦ φίλου· οἱ δὲ τελευταῖοι τέσσαρες, ποιητικῆς εἰσὶ τρυφώσης μόνον. καὶ ἔστιν ἀρχαῖον. ἡγοῦμαι δὲ ἀσεβέστερον ἀποθανόντων λόγους κλέπτειν ἢ θοιμάτια, ὃ καλεῖται τυμβωρυχεῖν. ἐῤῥωμένως διαβιῴης διαγῶς καὶ διὰ βάθους φιλοσοφίας ἀντιποιούμενος. εἴκοσι τοῦ μεσονεὶ ἡμέρας συντίθεμαί σοι περιμένειν σε, μεθ' ἃς σὺν θεῷ τῆς ὁδοῦ ἕξομαι. τὸ ἀγαθώτατον ἑταῖρον πλεῖστά μοι πρόσειπε. φιλῶ γὰρ αὐτὸν, διότι σε πάνυ φιλεῖ.

Τῷ αὐτῷ.

Φοιβάμμων ὁ τὴν ἐπιστολὴν ἐπιδοὺς, καὶ ἀνήρ ἐστιν ἀγαθὸς, καὶ φίλος, καὶ ἀδικεῖται.

gratulatione & laude celebretur in principiis eiusdem nominis quaternionis natura. In quaternione iambicorum versuum in fine duodecim versus scriptos simul repperi, tãquam vnum efficerẽt epigramma. quandoquidem igitur verisimile est te eos habere, scias quod neque vnum neque vnius sint epigramma. sed octo quidẽ primi cũ scientia poëtica scripti, mista peritia astronomica, sunt amici tui, postremi autẽ quatuor poëticæ sunt, voluptati ac deliciis indulgenti, & res est vetus, arbitror magis impiũ mortuorum scripta furari, quam vestes, quod appellatur busta effodere. Strenuè viuas, piè & sanctè philosophiam capescens. Viginti dies mẽsis Augusti promitto quod te expectaturus sim, quibus elapsis fauente Deo iter suscipiam. Plurimam mihi salutem dicito optimo socio, amo enim eum, quia te impendio diligit.

Eidem. 144.

Phœbamon qui tibi reddidit epistolam, & vir est bonus, & amicus, & iniuria afficitur.

ob omnia igitur ista ei debes opitulari, & propter nos, & mores, & casum. hoc quidem sic fiat: etenim multum videtur confidere mutuæ inter nos beneuolentiæ: cum te indigeret ad me perfugit, confisus quod per me à te obtinebit: & pollicitus ei sum Herculianum per Synesium; victoriã autem ei aduersus eos, à quibus læditur, per Herculianum sacrum & carum caput. De Comite scripseras per Vrsicinum, intelligo autem eum qui adeptus est præfecturam militum in patria, & petebas vt fierent à nobis signa & ab amicis tuis, qui id facere possunt, commendationes cum ad eum, tum ad ordinarium magistratũ. Tuum igitur studium etiam tum approbaui, rem autem, vt superuacaneam negabam, me nudum in philosophia constituens. nunc verò læsi & pagani & milites, cogunt me vt velim vsurpare ciuilem potentiam, ad quam natura me non esse aptum scio. & ipsi huius rei conscij sunt,

διὰ πάντα οὖν αὐτῷ συλλαβέσθαι δίκαιος εἶ,
καὶ δι' ἡμᾶς, καὶ διὰ τὸν τρόπον, καὶ διὰ τὴν πε-
ρίστασιν. τοῦτο μὲν οὕτω γενέσθω. καὶ γὰρ ἔοικε
σφόδρα πιστεῦσαι τῇ πρὸς ἀλλήλους ἡμῶν
εὐνοίᾳ. σοῦ γὰρ δεόμενος, ἐπ' ἐμὲ κατέφυγε,
τεθαῤῥηκὼς, ὅτι δι' ἐμοῦ, σοῦ τεύξεται, καὶ ὑπε-
σχόμην αὐτῷ τὸν Ερκουλιανὸν, διὰ Συνε-
σίου· ὃ δὲ νικᾷν τοὺς λυποῦντας, δι' Ερκου-
λιανοῦ τῆς ἱερᾶς καὶ τιμίας κεφαλῆς. περὶ τοῦ
κόμητος ἐγεγράφεις δι' Οὐρσικίνου, λέγω δὲ
τοῦ τυχόντος ἀρχῆς τῶν ἐν τῇ πατρίδι στρα-
τιωτῶν· καὶ ᾔτεις συνθήματα παρ' ἡμῶν,
τοῦ γενέσθαι, παρὰ τῶν δυναμένων τοῦτο
ποιεῖν σῶν φίλων, γράμματα πρός τε αὐ-
τὸν καὶ πρὸς τὸν ὀρδινάριον ἄρχοντα. τὴν
μὲν οὖν προαίρεσιν ἀπεδεχόμην καὶ τότε·
ὃ δὲ ἔργον, ὡς παρέλκον, ἠρνούμην γυμνὸν
ἐμαυτὸν εἰς φιλοσοφίαν ἱστάς· νῦν δὲ ἀδι-
κούμενοι φίλοι καὶ ἰδιῶται καὶ στρατιῶται,
βιάζονταί με βούλεσθαι μεταποιεῖσθαι τῆς
πολιτικῆς δυνάμεως, πρὸς ἣν ἀποπε-
φυκὼς οἶδα· καὶ αὐτοί μοι τοῦτοι συνίσασιν,

ἀλλὰ βιάζονται σφῶν ἕνεκα, ποιεῖν τι καὶ ἀκούσιον. νῦν οὖν εἰ δοκοίη σοι τοῦτο ποιεῖν, ἐπιτρέπω. πρόσειπέ μοι τὸν ἱερὸν ἑταῖρον τὸν Διάκονον, καὶ γυμναζέσθω πρὸς ἀνταγωνιστὴν ἱππέα. προσαγορευέτω σε πᾶς μου ὁ οἶκος, προσφθεγγομένους αὐτῷ νῦν καὶ Ἰσίωνος, ὃν ἐπόθεις ἀπὸ διηγημάτων, ὃς αἴτιός μοι γέγονε τῆς ἀγεννοῦς καὶ ἀφιλοσόφου τῶν γραμμάτων αἰτήσεως πρὸς τοὺς ἄρχοντας, καταδεηθεὶς τὰ μὲν αὐτοπρόσωπος ὑπὲρ πολλῶν, τὰ δὲ δι' ὧν ἐκόμισεν ἐπιστολῶν. καὶ ἔστιν οὖν σε μέχρι τῆς διηγορευμένης εἰκάδος περιμένειν.

Τῷ αὐτῷ.

Οἰκέτης ἐμὸς ἐδραπέτευσεν, οὐ τῶν πατρῴων τῶν ἐμῶν, οὐδὲ τῶν ἄλλως συντραφέντων ἐμοί· ἀγωγῆς γὰρ ἐλευθερίου μετασχόντες καὶ μικροῦ δέω λέγειν ἐν ὁμοτίμοις ἀγόμενοι, φιλοῦσιν ὡς αἱρετὸν ἄρχοντα μᾶλλον, ἢ δεδίασιν ὡς νόμῳ δεσπότην· ἀλλ' ὁ Φιλόρωμος· τοῦτο γὰρ ὄνομα τῷ δραπέτῃ·

ſed cogunt ſua cauſa, aliquid facere etiam inuitum. nunc igitur, ſi tibi videtur, hoc faciendum, permitto. Salutato mihi ſacrum ſocium Diaconũ, & ſe contra aduerſarium equitem exerceat. ſalutem tibi tota mea familia impertit; accedente ei nunc & Iſione, quem deſiderabas ex narrationibus, qui auctor mihi fuit ignobilis, & philoſophum non decentis poſtulationis literarum ad præfectos & magiſtratus, efflagitans partim coram pro multis, partim per eas, quas attulit, epiſtolas. Et iſte quidem te exſpectat vſque ad vigeſimum diem conſtitutum.

Eidem. 145.

Seruus meus fugit, non ex paternis meis, neque ex his qui mecum nutriti ſunt, inſtitutionem enim liberalẽ adepti, & parum abeſt quin dicam in pari mecum honore & conditione habiti, amant magis vt electum magiſtratũ, quã timeãt vt lege dominũ: ſed Philoromus, hoc enim illi fugitiuo nomen.

cùm esset filiæ Amelij neptis ex sorore mea seruus, per illam efficitur meus: nutritus autem improbè & mala institutione philosophicum & laconicum imperium ferre non potuit, & nunc loco meo dominum consecutus Alexandrinum, lustrat cum eo Aegyptum. Harpocration quidam est ex satellitibus Herculiani munus habens auxiliatorem adiuuandi, hæc enim vox subadiuua id significare creditur. Cùm hoc est Philomorus. & ego quod ad me attinet siuissem eum valere (quo pacto enim consentaneum est deteriorem quidem melioribus non indigere, qui autem profitentur se meliores egere deteriore?) sed domina miseri illius serui nondum persuadetur, vt contemnat eos qui eam non amant, & me plurimum rogauit, vt mitterentur qui eum retraherent. Suscepit operam istam volens cõtubernalis noster Aïthales, quem ego fretus Deo, & humanum auxilium tuum pollicitus misi. Vtinã tibi reddatur epistola.

τῆς ἀδελφιδῆς μου τῆς Ἀμελίου θυγατρὸς οἰκέτης ὢν, ἐμὸς γὰρ δι' ἐκείνης· τραφεὶς δὲ ἐκμελὴς καὶ ἀνάγωγος φιλόσοφον καὶ λακωνικὴν ἐπιστασίαν οὐκ ἤνεγκε· καὶ νῦν ἀντ' ἐμοῦ δεσπότην εὑράμενος Ἀλεξανδρέα, παροικεῖ μετ' ἐκείνου τὴν Αἴγυπτον. Ἁρποκρατίων τίς ἐστι τῶν Ἡρακλειανοῦ δορυφόρων τάξιν ἔχων τοῦ βοηθῶ βοηθεῖν· ἡ γὰρ σουβαδίουβα λέξις, τοῦτο ἑρμηνεύειν πιστεύεται. τούτῳ σύνεστιν ὁ Φιλόρωμος. κἀγὼ τό γ' ἐμὸν, εἴασα ἂν χαίρειν αὐτόν. ποῦ γὰρ εὔλογον τὸν μὲν χείρω τῶν βελτιόνων μὴ δεῖσθαι, τοὺς δὲ βελτίονας ὁμολογοῦντας εἶναι, δεῖσθαι τοῦ χείρονος· ἀλλ' ἡ δέσποινα τοῦ κακοδαίμονος, οὔπω πείθεται πάνυ φιλοσοφεῖν, ὥστε καταφρονεῖν τῶν οὐκ ἀντεχομένων, καὶ κατεδεήθη πολλὰ σαλεῦσαι τοὺς ἐπολυάζοντας αὐτόν. ὑπέστη δὲ τὴν ὑπηρεσίαν αὐθαίρετος ὁ σύσκηνος ἡμῶν Αἰθαλῆς, ὃν ἐγὼ θεῷ τε ἡγεμόνι θαρρῶν ἔστειλα, καὶ ἂν Θεοπίνην ἐπικουρίαν προσδεχόμενος τὴν παρὰ σοῦ. εἴη σοι τὴν ἐπιστολὴν ἐπιδοῦναι·

τὰ δὲ ἐντεῦθεν, ἐπειδὴ παρείληφας τὴν ὑπόθεσιν, θεῷ καὶ αὐτῷ, σοὶ καὶ Ἀειθαλεῖ μελήσει.

Τῷ αὐτῷ.

Ἐπιθύμησας ἐξορκῶσαι τὴν ἱερὰν σου ψυχὴν τῷ δι' ἐπιστολῶν ἐπιπλῆξαι τῷ σφοδρῷ τῆς εἰς τὴν συντυχίαν ἡμῶν συστάσεως, πολλῷ πρότερον ὑπὸ τοῦ κατακλυσμοῦ τῶν ἐν ταῖς ἐπιστολαῖς ἰύγγων αὐτὸς ἐπηλώθην, καὶ εἰ μὴ νῦν τοιοῦτος, ὁποίῳ σοὶ τυγχάνοντι πρότερον ἐνεκάλουν. ἆρ' οὖν ἀγαθῶν μοι μεγάλων αἴτιος ὁ θαυμάσιος Ἑρκουλιανός, οὕτω τὴν ἐμὴν ψυχὴν ἀναρτήσας ἑαυτοῦ, καὶ καταβιβάσας τοῦ φιλοσοφίας ἀξιώματος; ἐγὼ μὲν οὐ δι' ἄλλο τι τὰς Σειρῆνας ὑπὸ τῶν ποιητῶν ἡγοῦμαι βλασφημεῖσθαι, ἢ ὅτι τῷ μεγίστῳ τῆς φωνῆς ἀπώλλυον, προσαγόμεναι τὸν πιστεύσαντα. ἤκουσα δέ που τῶν σοφῶν καὶ ἀλληγοροῦντος τὸν μῦθον.

Reliqua autem, quoniam accepisti argumentum, Deo & tibi & Aïthali curæ erunt.

Eidem. 146.

Qui animum tuum, per epistolas reprehendendo vehementi in congressum nostrum impulsione, masculum reddere concupiui, multo ante abundantia illecebrarum, quæ tuis in litteris sunt, effœminatus sum, & nunc is viuo, qualem te antea existentem incusabam. vtrum igitur mihi bonorum magnorum auctor admirabilis Herculianus, qui sic animum meum ex se aptum ac suspensum tenet, & de dignitate fecit descendere? ego quidem non ob aliud quidpiam Sirenas a poëtis vituperari puto, quam quod suaui ac mellita voce homines interficerent, allicientes eum qui fidem eis haberet. audiui autem doctum aliquem & allegoria quadam interpretantem fabulam.

Sirenes enim dicebat voluptarias significare delicias, quæ sensim eos qui paruerint & capti sint, suis blanditiis perdunt. Quid igitur absit, quominus Sirenes tuarum epistolarum voluptates, à quibus ego animi grauitate omissa totus Herculiani factus sum? testis est Deus, non consuetudine scribendi vice * alterius hac de re feci verba, vt argumentum haberem epistolarum, verùm ob litteras ab Vrsicino mihi redditas. Erant autem tres, media magnitudine nimium quendam animi affectum adferens instillauit mihi, & illa litterarum assentatione vsque adeo inferior sum, vt me pudeat. fratrem Cyrum accipere à te oportet litteras de iis, quæ significasti propter comitem Pentapolitanum. & gratiam quidem habui voluntati ac studio commendatoris, oblitus autem es quod philosophari coner, & parui ducam omnem honorem, nisi ob philosophiam eueniat. itaque

** quod desit scribendi materies. f.*

Σειρῆνας γὰρ αὐτὰς αἰνίττεται τὰς ἀπολαυστικὰς ἡδονὰς, αἳ τοὺς εἴξαντας καὶ καταγοητευθέντας αὐτῶν τῆς προσοχῆς, μετὰ μικρὸν ἀπολλύουσι. τί οὖν ἀποδέουσιν εἶναι Σειρῆνες, αἱ τῶν σῶν ἐπιστολῶν ἡδοναὶ, ὑφ' ὧν ἐγὼ τὸ ἐμβριθὲς ἀφεὶς, ὅλος Ερκουλιανοῦ γέγονα. μάρτυς θεὸς, οὐ νόμῳ τοῦ γράφειν, ἀλλ' ἀγνοοῦ τοὺς περὶ τούτου πεποίημαι λόγους, ἵν' ὑπόθεσιν ἔχω γραμμάτων, ἀλλὰ τὴν παρ' Οὐρσικίνου δοθεισῶν ἐπιστολῶν· ἧσαν δὲ τρεῖς· ἡ μέση κατὰ τὸ μέγεθος ἐμβιόν τι ψυχῆς πάθος ἐνέσταξέ μοι κομίσασα, καὶ γέγονα τῆς ἐν τοῖς γράμμασι κολακείας ἥττων τοσοῦτον, ὅσον αἰσχύνεσθαι. τὸν ἀδελφὸν Κύρον ἔδει κομίσασθαι παρὰ σοῦ γράμματα περὶ ὧν ἐδήλωσας, διὰ τὸν ἐκ Πενταπόλεως κόμητα. καὶ χάριν μὲν ἔχον τῇ προαιρέσει τοῦ συστήσαντος· ἐπελάθου δὲ ὅτι φιλοσοφεῖν πειρῶμαι, καὶ μικρὸν ἡγοῦμαι τιμὴν ἅπασαν, εἰ μὴ ἐπὶ φιλοσοφίᾳ γένοιτο. δέομαι οὖν

διὰ τὸν θεὸν οὐδέν· οὔτε γὰρ ἀδικοῦμεν, οὔτε ἀδικούμεθα. τὸ δὲ τοιοῦτον, ἐκείνῳ μὲν ὑπὲρ ἡμῶν ἔπρεπε ποιεῖν, ἡμῖν δὲ αἰτεῖν, οὐ πρέπον. εἰ γὰρ ἔδει ζητεῖν ἐπιστολάς, αἰτεῖν ἔδει πρὸς ἐμὲ γράψαι. οὕτω γὰρ ἂν ἐτιμήθην, οὐχ ὑπὲρ ἡμῶν πρὸς ἕτερον. ἐῤῥωμένως δ' εὐθυμῶν διαβιώης, φιλοσοφίαν ἀδολωτάτα μετιών. πᾶσα ὁμοῦ σε ἡ οἰκία, μάρτυς θεός, καὶ παῖδες, καὶ γέροντες, καὶ γυναῖκες, προσαγορεύουσιν. ἴσως δ' ἂν αὐτὸς καὶ φιλοφρονουμένας τὰς γυναῖκας μισοίης. ἰδοὺ τί πεποίηκας· ἐν ὁδῷ με ὄντα ἀπρὶξ λαβόμενος κατέχεις. ἦσαν ἄρα Αἰγύπτιοι φαρμακεῖς, καὶ οὐ πάντα Ὅμηρος ψεύδεται, ὅτε καὶ αὐτὸς ἰύγγων πλήρεις ἐπιστολὰς ἐκπέμπεις ἀπ' Αἰγύπτου. Ἑλένη μὲν οὖν τὸ λαθικηδὲς φάρμακον Πολύδαμνα πόρε Θῶνος παράκοιτις· σοὶ δέ τις τὸ ἀνιαρὸν δέδωκεν, ᾧ χρίσας ἔπεμψας τὴν ἐπιστολήν.

nulla re per Dei gratiam egero: neq; enim ipsi iniuria afficimus, aut afficimur. aliquid sanè tale illi pro nobis conueniebat facere, nobis vero petere, non erat consentaneum. Si enim flagitare oportebat epistolas, petere oportebat vt ad me mitterentur illæ, sic enim honoratus essem, non vt pro nobis ad alterum. Vehementer lætus viuas, philosophiam sincerè sequens. tota te simul familia, testis Deus, & pueri & senes, & mulieres salutant, fortassis ipse & mulieres beneuolentia te prosequentes oderis. vide quid feceris, qui iam in via me tenaciter prehendens, retines? erant igitur incantatores Ægyptij, neque Homerus omnino mentitur, cùm & ipse plenas incantamenti epistolas mittas ab Aegypto. Helenæ quidem malorum obliuionem inducens medicamentum Polydamna Thonis vxor præbuit; tibi autem quis dolores afferens dedit? quo vnctam epistolam misisti? Odyss. lib. 4.

Ioann. 147.

Arbitror te & ante votum bene agere, qui dimiſſis nobis hominibus verſantibus in miſeriæ prato, in tenebris, & inuolutis terrenis curis, ipſe ſupra eas te conſtituens, cum adhuc hic eſſes, feceſſiſti, & vitam beatam attigiſti, niſi amicus tuus Ganus narrando & nunciando nobis res tuas, exiſtimat oportere quid mentiri. maximè enim ſupprimere veritatem poteſt beneuolentia. Hic igitur Ganus vitam tibi ſolitariam tribuit, & occaſionem ingreſſus in vrbem dixit eſſe libros, & mentem ipſam tibi, quanta ad theologiam pertinet, & fuſco palliolo te veſtitum eſſe dixit. Nihil quidem minus eſſet, ſi & album eſſet. id enim, quod purum eſt & lumini ſimilius, in his quæ ſenſum mouent illuſtriſſimæ naturæ potius dicatum fuerit. ſed ſi nigrum laudaſti, quoniam æmulatione aliquorum qui ante fuerunt, feciſti, approbo id omne, quod Dei cauſa fit.

Id

Ἰωάννῃ.

Οἴομαι σε καὶ παρ' εὐχῆς εὖ πράττειν, ὅς γε ἀφεὶς τοὺς ἀνθρώπους ἡμᾶς Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας, καὶ ταῖς χθονίαις ἐγκαλινδουμένους φροντίσιν, αὐτὸς ὑπὲρ ταύτας στήσας σαυτὸν, ἀνεχώρησας ἔτι δεῦρο ὢν, καὶ μακαρίας ἥψω ζωῆς, εἰ μὴ φίλος ὢν Γάιος ἐν τῷ λέγειν καὶ διαγγέλλειν τὰ σὰ πρὸς ἡμᾶς, οἴεται δεῖν τι καὶ ψεύδεσθαι. δεινὸν γὰρ ἡ εὔνοια κλέψαι τὴν ἀλήθειαν. ἔστ' οὖν ὁ Γάιος ἐπεφήμισέ σοι τὸν μονήρη βίον*, καὶ προφασιν τῆς εἰς τὴν πόλιν εἰσόδου βιβλία, καὶ τὸν νοῦν αὐτὸν ὅσος εἰς θεολογίαν συντείνει, καὶ φαιὸν τριβώνιον ἀμπέχεσθαί σε φησίν. οὐδὲν μὲν οὖν μέσον, εἰ καὶ λευκὸν οὖν. τῇ γὰρ φανοτάτῃ φύσει μᾶλλον ἀνακείμενον εἴη τὸ ἐν τοῖς αἰσθητοῖς καθαρὸν καὶ φωτοειδέστερον. εἰ δὲ καὶ τὸ μέλαν ἐπῄνεσας, ἐπὶ ζήλῳ τινῶν προλαβόντων ἐποίησας, πάγκαλόν πού τὸ ἐπὶ τῷ θείῳ γινόμενον.

γρ. φιλόσοφον, καὶ

ὃ γὰρ οὐ χάριν γίνεται, δίδωσι κατορθοῦν τὴν ποιοῦντι, καὶ ἡ προαίρεσις ἔχει τὴν ἀρετήν. ἡμεῖς οὖν σοι συνηδόμεθα, χαρίζεσθαι τὸ τέλος, ὅπερ ἡμεῖς πάλαι σὺν πόνῳ μόλις θυροκοπούμενον· σὺ δὲ ἡμῖν συνεύξαι, φθάσαι ποτὲ καὶ αὐτοῖς, καὶ εὑρέσθαι τι κέρδος ἀπὸ τῆς ἐν φιλοσοφίᾳ μερίμνης, ἵνα μὴ τηνάλλως ὦμεν κατατετριφότες πρὸς τοῖς βιβλίοις τὸν βίον, ἐρρωμένως εὐδαιμονοῦν διαβιώης θαυμάσιε.

ϟζ. Ιωάν-
νῃ.

Ὀλυμπίῳ*.

Ἀπελίπον τὴν τάξιν τῶν φόρων. τί γὰρ ἦν ποιεῖν, οὐδενὸς Ἑλλήνων τῶν τὴν Λιβύην ἐπῳκηκότων θέλοντος εἰς τὴν περὶ ἡμᾶς θάλατταν ἐκπέμπειν ὁλκάδας. καὶ σὲ δὲ ἀφίημι τῆς συντάξεως. οὐδὲ γὰρ σὺ ἐρεῖς ἐπιμελὲς καταίρειν εἰς τὰ Κυρηναίων ἐπίνεια· λάθοι δ' ἄν με τοῦτό ποτε καὶ γινόμενον. οὐ γάρ εἰμι γείτων θαλάττης, οὐδ' ἐλλιμενίζω συχνά· ἀλλ' ἀνῴκισμαι πρὸς νότον ἄνεμον

Κυρη-

Id enim cuius * gratia aliquid fit, auctori tribuit vt rectè faciat, & penes voluntatem est virtus. Nos igitur tibi gratulamur, qui tam facile tibi repræsentaueris finem, cuius nos iampridem cum labore vix fores pulsamus. Sed tu nobis comprecare, vt & ipsi eò aliquando perueniamus, & consequamur quid commodi ex studio philosophico, vt ne frustra contriuerimus ætatem in libris. valde beatus viuas, admirande.

Olympio. 148.

Deserui munus tributorum. quid enim facere licebat, nullo Græcorum, qui Libyam incolunt, volente in vestrum mare remigia mittere? & te quidem libero tributo, neque enim Syris curæ est, ad Cyrenensium portus naues appellare: lateret autem etiamsi fieret aliquando. non enim vicinus sum mari, neque ad portum frequenter venio: sed mediterraneus sum, versus Austrum ventum

Nō nisi tibi munera illa quæ quotannis mittere solebam.

Cyrenæorum vltimus, & vicini mihi ſunt, quales Vlyſſes in Ithaca clauum habens quærebat, iram Neptuni ex oraculo deprecans, viri qui neſciunt mare, neque ſalibus mixtum cibum comedunt. ſed ne fabulam exiſtimes quod ne ſale quidem tenus horum locorum homines vtantur mari. Neque tamen ob id putes comedere non ſalſas carnes & placentas: ſunt per ſacram Veſtam, ſunt mediterranei apud nos ſales, diſtantes minus verſus Auſtrum, quam verſus Septemtrionem mare. Eos Ammonis appellamus ſales. ſaxum autem friabile & nutrit & obtegit illos, quod cum ſuſtuleris tamquam ſquammam & operimentum, facilitas magna eſt & manibus & ligonibus fodiendi locum penitiſſimum. Quòd autem egeritur ſal eſt, adſpectu iucundus & guſtatu alia quadam voluptate. ſed vide ne ſophiſticas ineptias exiſtimes narratione vernaculum ſalem pertractare: minime enim iis ambitioſus inhæreſ-

Κυρηναίων ἔσχατος, καὶ γείτονες ἡμῖν εἰσίν,
οἵους Ὀδυσσεὺς κατὰ τὴν Ἰθάκην τὸ πηδάλιον
ἔχων ἐζήτει, μῆνιν Ποσειδῶνος ἐκ τοῦ
χρησμοῦ παραιτούμενος, οἳ οὐκ ἴσασι „
θάλασσαν ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμι- „
γμένον εἶδαρ ἔδουσιν. ἀλλὰ μὴ λόγον ἄλλως „
οἰηθῇς, τὸ μηδὲ μέχρις ἁλῶν τοὺς δεῦρο
κεχρῆσθαι θαλάττῃ, μήτε μὴν ἄλλως τε
διὰ τοῦτο κατεσθίειν ἥδιον τὰ κρέα τε καὶ
τὰ πέμματα. εἰσὶ νὴ τὴν ἱερὰν Ἑστίαν, εἰ-
σὶν ἠπειρῶται παρ' ἡμῖν ἅλες, ἀπέχοντες
πρὸς νότον ἔλαττον, ἢ πρὸς ἄρκτον ἡ
θάλαττα. τούτοις Ἄμμωνος καλουμένους τοὺς
ἅλας. πέτρα δὲ αὐτοῖς ψαφαρὰ καὶ τρέφει
καὶ κρύπτει, ἣν ὅταν ἀφέλῃς ἐπιβεβλημέ-
νην ὥσπερ ἐφελκίδα, ῥᾳστώνη πολλὴ καὶ χερ-
σὶ καὶ σκαλίσιν ἀρύειν τὸ βάθος· τὸ δὲ ἀ-
ναχωννύμενον, ἅλες εἰσίν, ἰδεῖν τε ἡδεῖς καὶ
γεύσασθαι τὴν ἄλλην ἡδονήν. ἀλλ' ὅπως
μὴ σοφιστικὴν ἀπειροκαλίαν οἰηθῇς τὸ ἐπε-
ξελθεῖν τῶν ἐπιχωρίων ἁλῶν τοῖς διηγή-
μασι. ἥκιστα γὰρ τοῖς ἀγροδιαίτοις ἡμῖν

προσιζάνει τὸ φιλότιμον πάθος· ἀλλὰ σὺ
γὰρ ἀπαιτεῖς ἕκαστα παρ' ἡμῶν, τὰ περὶ
λιμένων εἰδέναι. ἀνέχου τοίνυν ἀδολεσχούσης
ἐπιστολῆς, ἵνα καὶ τῆς ἀκαίρου πολυπραγ-
μοσύνης δῷς δίκην. ἅμα δὲ καὶ χαλεπὸν
εἰς πίστιν τὸ ἑκάστοις ἀπόρρητον. οὐ φαῦλον
οἶμαι ἔργον Σύρον ἀναπεῖσαι περὶ χερσαίων
ἀγαθῶν, ἐπεὶ καὶ δεύτερα πράγματα ἔχω, πε-
ρὶ νεῶν καὶ θαλάττης ἀνακρινόμενος. οἶσθα
γὰρ ὡς ἐγὼ καὶ φιλόσοφον ποτὲ ἅμα ὑ-
μῖν, ἐθεασάμην τὸ χρῆμα τοῦτο τὴν
θάλασσαν, καὶ πρὸς Φάρῳ, καὶ πρὸς
Κλυώβῳ, τὴν μεγάλην λίμνην τὴν
γρ. δια- λαμυρὸν*. καὶ εἵλκετο ναῦς, καὶ ἀ-
μυρόν. νήγετο πρὸς οὖρον αὕτη, κἄπειτα ἐκεί-
νη. ἐγκλᾶτε γοῦν εἰκάσαντος αὐτὴν ἐ-
μοῦ ζώῳ πολύποδι. οἱ δὲ, διάκεινται
τὰς γνώμας, ὥσπερ ἡμεῖς, ὅταν ὑπὲρ τὴν
ἐπέκεινα Θούλης ἀκούωμεν, ἢ τίς ποτέ
ἐστιν ἡ Θούλη, διδοῦσι τοῖς διαβᾶσιν αὐτὴν
γρ. ἀνέγ- ἀνεύθυνα καὶ ἀνέλεγκτα* ψεύδεσθαι. ἀλλ'
κλητα. οὗτοί γε κἂν προσίωνται ποτε τὰ περὶ τὴν

cit affectus, qui rustica diæta vtuntur: sed enim tu singulas res nostras à nobis scire desideras, sustine itaque loquacem & garrulam epistolam, vt & intempestiuæ curiositatis pœnas Dei. Ceterum verò & difficile creditur, quod cuique est peregrinum & insolens. res igitur facilis est Syro persuadere de terrestribus salibus, quandoquidem & hîc negotia habeo, de nauibus, & velis & mari interrogatus. scis enim cum & ego philosophiæ alquando vobiscum operam darem, me vidisse rem istam nempe mare, & ad Pharum & Canobum magnæ vastitatis lacum. & trahebatur nauis, & hæc vento secundo prouehebatur, altera remis: ridebatis itaque me eam comparante cum animali multos habenti pedes. Hi autem ita animo affecti sunt, vt nos, cum de his, quæ sunt vltra Thulem, quæcumque tandem sit illa Thule, quæ concedit eis qui eam transierunt impune ac sine reprehensione mentiri. sed isti si admittant aliquando ea, quæ de naui-

bus narro; aut videantur illud ridere, vehementer increduli sunt quod & mare homines nutrire possit: illud enim solam habere terram matrem priuilegij ac muneris censent. Ego verò illis renuentibus ea quæ de piscibus, sumens & illidens saxo alicui seriam fictilem, ostendi salsamenta ab Aegypto allata. at hi anguium improborum dixerunt esse corpora, & prosilientes fugiebant, spinas formidantes, vt non leniores veneno quod inter dentes sit. Et dixit quis natu maximus & in opinione mentis maximè compos, vix de aqua salsa credere, boni aliquid & esculenti illic nutriri, fontanis & bonis, & potui idoneis laticibus ranas & hirundines procreantibus, quas ne insanus quidem gustauerit. Et verisimilia quidem hæc ignorantibus. Non eos insiliens maris fluctus noctu excitat, sed equorum hinnitus, & vociferans grex caprarum & ouium balatus, & tauri mugitus: primo autem

νεῶν, ἢ δόξωσιν ἐκεῖνο γελᾶν, ἀνακεκράτως
ἀπιστοῦσιν, ὅτι δύναται τρέφειν ἀνθρώποις
καὶ θάλαττα. τοῦτο γὰρ μόνην ἔχειν ἀξιοῦσι
τὴν μητέρα γῆν τὸ πρεσβεῖον. ἐγὼ δέ πο-
τε αὖθις ἀναβιοῦσι πρὸς τὰ περὶ τῶν ἰχ-
θύων, ἀναλαβὼν καὶ περισφράξας πέτρᾳ
τινὶ κέραμον, ἔδειξα τῶν ἀπ' Αἰγύπτου ταρ-
ίχη συχνά· οἱ δὲ, ὄφεων πονηρῶν ἔφασαν
εἶναι σώματα· καὶ ἀναθορόντες ἔφυγον, τὰς
ἀκάνθας ὑποπτεύοντες, ὡς οὐδὲν ἠπιωτέ-
ρας τοῦ διὰ τῶν ὀδόντων φαρμάκου· καὶ
ἔφη τις ὁ γεραίτατος, καὶ ἐν τῇ δόξῃ φρε-
νῶν ἐπηβολώτατος, χολὴ γοῦν περὶ ὕδατος
ἀλυκοῦ πιστεῦσαι, καλόν τι * αὐτόθι τρέφε- γρ. ἐν-
σθαι καὶ ἐδώδιμον, τῶν πηγαίων, τῶν ἀγαθῶν καὶ ταῦθα
ποτίμων ναμάτων, βατράχοις καὶ βδέλ-
λας θυνόντων, ὧν οὐδ' ἂν ὁ μαινόμε-
νος γεύσαιτο· καὶ εἰκότα γε ἀγνοοῦσιν. Οὐ
γὰρ σφᾶς ἐκ νυκτὸς ἐγείρει κῦμ' ἐπιθρῷ- «
σκον πελάγους· ἀλλ' ἵππων χρεμετισμοὶ, «
καὶ μηκάζον αἰπόλιον, καὶ προβατίων
βληχὴ, καὶ ταύρου μύκημα· περάτης δὲ

ἀκτῖνος ἐπιβαλούσης, τὴν μελιττῶν ὁ βόμβος, εἰς ἡδονῆς λόγον οὐδεμιᾷ παραχωρεῖν μουσικῇ. μήτοι σὺ δοκοῦμεν ἐκδιηγεῖσθαι τὰς Ἀρχεμάχου, τοιοῦτον οἰκοῦντες ἀγρὸν, πόῤῥω πόλεως, καὶ ὁδῶν, καὶ ἐμπορείας, καὶ ἐθνῶν ποικίλων; ἡμῖν γὰρ ἐστὶ σχολὴ μὲν φιλοσοφεῖν, ἀσχολία δὲ κακουργεῖν. συνόδοι δὲ πᾶσαι πᾶσιν ἑταιρικαὶ, χρωμένων ἀλλήλοις ἐπὶ γεωργίαν, ἐπὶ ποίμνας, ἐπὶ ποιμένας, ἐπὶ θήρας ὧν ἡ γῆ φέρει παντοδαπῶν. οὐδὲ γὰρ νόμος ἡμῖν, οὔτ' αὖθις, οὔθ' ἵπποις, ἀνδρωτὶ σῖτον αἱρεῖσθαι· ἀριστῶμεν δὲ ἐπ' ἀλφίτοις, ἡδίστοις μὲν ἐμφαγεῖν, ἡδίστοις δὲ ἐμπιεῖν, ἃ καὶ τῷ Νέστορι κίρνησιν Ἑκαμήδη· μετὰ τὸν κόπον ἰσχυρὸν ὁ κυκεὼν, τῆς θερινῆς ὥρας ἀλέξημα. καὶ μὴν ἔστιν ἡμῖν καὶ πύρινα πέμματα, καὶ τρωκτὰ ἀκροδρύων, τὰ μὲν, ἥμερα· τὰ δ', ἄγρια, πάντα ἐγχώρια, γῆς ἀρίστης χυμοί, καὶ κηρία μελιττῶν, καὶ γάλα ἐξ αἰγῶν. οὐ γὰρ νομίζομεν βοῦς ἀμέλγειν. ποιεῖ δὲ οὐκ ἐλάττω τὴν ἀφθονίαν ἐν ταῖς τραπέζαις,

Γρ. Ἀγχεμάχου,

ſolis radio * adiecto, apium ſuſurrus, ad voluptatis rationem nulli cedens Muſicæ. Nónne tibi videmur Anchemachi deſcriptiones explicare, talem incolentes agrum, procul ab vrbe, viis & mercatura, & moribus variis? mihi enim eſt otium philoſophandi, non eſt autem ad male agendum. Cœtus autem omnes omnibus ſunt ſodalitij, cum vtamur alij aliis ad agriculrurã, ad greges, ad paſtores, ad venationem earum ferarum, quas terra fert, omnigenam. Neque enim conſuetudo nobis, neque ipſis, neque equis cibum ſine ſudore ſumere, prandemus autẽ polentam incundiſſimam eſu, & ſuauiſſimuam potu, quam & Neſtori miſcet Ecademe: poſt vehementem laborem cinnus æſtiui temporis rememedium. & ſanè ſunt etiam nobis triticea panificia, & edulia baccarum, partim quidem manſueta, partim verò ſilueſtria, omnia vernacula, optimæ terræ ſucci, & faui apium & lac caprarum, non enim ſolemus vaccas mulgere. efficit verò non minorem copiam in menſis venatio,

* *Simul atque in terram ſolis radij ferũtur.*

quæ & equis & canibus ſit, quam neſcio cur Homerus non appellarit homines ornantem, neque illuſtres dixerit viros in ea fieri: forum autem laude tali honorarit, quod homines impudentes & improbiſſimos reddit, & nihil habet ſani: ſed maleficos & maleficiendi peritos, ob quos & nos ridemus, cùm aliquando nobis contubernales ſunt: horrent enim ad carnes ferinas, quæ in focis noſtris ſunt, & quid dico carnes ferinas? venenum celerius quam quidquam eorum, quæ apud nos ſunt, guſtarent. quærunt autem vinum tenuiſſimum, mel verò craſſiſſimum, & oleũ quidem leuiſſimum, ſed triticum grauiſſimum, & patrias ipſorum* laudant Cyprum & Hymettum aliquem, & Phœnicem & Barbaram terram: regio autem noſtra, etſi in ſingulis ab vnaquaque vincitur, quæ fert quod præſtantiſſimum eſt, ceteris vnamquamque vincit. & hoc eſt ex ſecundis primas habere, quod & Peleus & Themiſtocles adepti in omnibus, omnium præſtantiſſimi à Græcis

* vini, mellis, olei.

καὶ ἡ διὰ τῶν κυνῶν καὶ τῶν ἵππων θήρα, ἣν οὐκ οἶδα πῶς οὐ προσεῖπεν Ὅμηρος κυδιάνειραν, οὐδὲ ἀριπρεπέας ἔφη τοὺς ἄνδρας ἐν αὐτῇ γίγνεσθαι· τὴν δὲ ἀγορὰν ἐγκωμίῳ τετίμηκεν, ἀνθρώπια προερχομένην ἀναιδῆ καὶ παμπόνηρα, καὶ οὐδὲν ὑγιές· ἀλλὰ λοίδορα, καὶ κακορράφειν εἰδότα· ἐφ᾽ οἷς τε γελῶμεν ἡμεῖς, ὁπόταν ποτὲ ἡμῖν ὁμόρροφα γίνηται. Φείδουσι γάρ τοι πρὸς τὰ ἐκ τῶν καμίνων κρέα τὰ θήρεια· καὶ τί λέγω τὰ θήρεια· φαρμάκου γ᾽ ἂν θᾶττον, ἢ τοῦ τῶν παρ᾽ ἡμῖν γεύσαιντο. ζητοῦσι δὲ οἶνον μὲν τὸν λεπτότατον, μέλι δὲ τὸ παχύτατον· καὶ ἔλαιον μὲν τὸ κουφότατον, πυρὸν δὲ τὸν βαρύτατον· καὶ παρείδας αὐτῶν ὑμνοῦσι, Κύπρον τε Ὑμηττόν τινα, τε Φοινίκην, καὶ Βάρβαρον· ἡμῖν δὲ ἡ χώρα καὶ εἰ καθ᾽ ἓν ἑκάστης ἥττηται, τῆς τὸ ἄκρον φερούσης, τοῖς λοιποῖς ἑκάστην νικᾷ. καὶ τοῦτ᾽ ἔστι τὸ ἐκ δευτέρων πρωτεῖον, ὃ καὶ Πηλεὺς καὶ Θεμιστοκλῆς εὑράμενοι, πάντα πάντων ἄριστοι τοῖς Ἕλλησιν

ἐκηρύχθησαν. εἰ δὲ δὴ καὶ δοίημεν τὸ δεύτερον μὲν χεῖρον εἶναι παρὰ τὸ Υμήττειον, ἀλλὰ τοιοῦτόν ἐστιν, οἵου παρόντος, οὐδὲν δεῖν τοῦ ξένου χυμοῦ· ἔλαιον μέν τοι σαφῶς τὸ ἡμεδαπὸν ἄριστον, ἢν μὴ κρίνωσιν οἱ διεφθορότες τὴν δίαιταν. ἐκεῖνοι μὲν γὰρ αὐτὸ ζυγοστατοῦσι, ῥοπῇ τὴν ἀρετὴν ἐξετάζοντες, καὶ τὸ μειαγωγεῖν, ἐν πλεονεκτήματος μοίρᾳ λογίζονται· ἡμῖν δὲ οὐ χαλκεύονται μὲν ἐπὶ τοὔλαιον τάλαντα· φαμὲν δὲ εἶναι αὐτὸ δεῖν ποιεῖν, φύσιν εἶναι τὸ πλέον ἕλκειν τιμῶν. ἀμέλει τὸ θαυμαστὸν αὖθις καὶ ὤνιον ἔλαιον, ἐν τοῖς θρυαλλίσιν, ὑπ' οὐδενείας ἀσθενῆ θρέψαι φλόγα· τὸ δὲ αὐθέγγαθον, ὑπὸ γλυναιότητος πυρκαϊὰν ὅλην ἀνίστησι, καὶ ἐπειδὰν λύχνου δέοι, χειροποίητον ἡμέραν ποιεῖ. ἀγαθὸν δὲ λιπῆναι μᾶζαι· ἀγαθὸν δὲ σωμασκοῦσι τρέψαι νεῦρα. ἡμῖν δὲ καὶ τὸ μουσικῆς χρῆμα ἐπιχώριον ὡς οὐδὲν ἄλλο, καὶ ἔστιν * Ἀγχεμαχηταῖς λύρειόν τι ποιμενικὸν λιτὸν καὶ αὐθέκαστον, εὔφημόν τε καὶ ἄρρεν ἐπιεικῶς, οὐκ ἀνάξιον

Γρ. Ἀγχεμαχηταῖς

prædicati sunt. Et licet & demus nostrum mel, si cum Hymettio comparetur, deterius esse; tamen tale est, vt eo præsente, nihil opus sit peregrino succo: oleum verò nostrum plane optimum, nisi homines deprauata viuendi ratione iudicent. Ipsi enim oleum appendunt, momento virtutem explorantes, & quod minus pendet in præstantiæ conditione numerant: nobis verò ad oleum ponderandum libræ non cuduntur; dicimus enim si id faciendum sit, natura quod plus pendet, præferri. Denique admirandum & ipsis venale est oleum in scupis, quod quia nihil est, non potest nutrire flammam. at vernaculum, ex præstantia integrum excitat incendium, & cum lucerna opus est, manu factum diem efficit. præstans verò est ad vngendam mazam, & bonum corpus exercentibus, ad fricandos neruos. Nobis autem & Musica vsitata est si quid aliud. éstque Anchemachetis lyrula quædam pastoralis, simplex & rudis & virilis eximiè, non indigna,

quæ Platonicæ ciuitatis pueros educet: nam hæc non ſupputat, neque virtus eius ſita eſt in eo, vt intendatur ſpecie harmoniæ; ſimplicitate chordarum conſentiunt qui accinunt. non enim aggregantur delicata argumenta, ſed nobis eſt pulchra quædam cantio, laus arietis maſculi, & mutilæ caudæ canis laudatur, quia vt arbitror, dignus eſt, hyænas non timens, & allatrans lupos: & venator vel maximè cantio fit largitionibus pacem faciens, & nos magna carnium copia paſcens. & quæ gemellos parit ouis non indigna habetur lyra; quòd plures annis fœtus nutriat. & ficum frequenter & vitem intendentes lyræ pſallimus. nulla autem res tantum celebratur quantum vota quædam, ad hęc canticum, & petitiones bonorum hominibus, plantis, & pecoribus. hæc & talia apud nos tempeſtiua & priſca, & pauperum bona. Rex verò & regis amici, & ſaltatio dæmonis, qualia ſanè conuenientes audimus,

quæ-

τοὺς ἐν τῇ Πλάτωνος πόλει παῖδας ἐκτρέφειν. ὡς οὐ λογίζεται τοῦτο, οὐδὲ ἀρετὴν ἔχει παμφανῶς ἡρμόσθαι· τῶν δὲ ἁπλῷ τῶν χορδῶν, συμβαίνουσιν οἱ προσᾴδοντες. οὐ γὰρ ἐπιτίθενται τρυφώσαις ὑποθέσεσιν, ἀλλ' ἔστιν ἡμῖν καλόν τι χρῆμα ᾠδῆς, ἔπαινος ἐνόρχου κριοῦ, καὶ ὁ μείονος κύων ἐγκωμίου τυγχάνει, ὅτι οἶμαι δίκαιός ἐστι τὰς ὕαινας οὐκ ὀρρωδῶν, καὶ λαρυγγίζων τοὺς λύκους· καὶ ὁ κυνηγέτης οὐχ ἥκιστα ᾠδὴ γοῦν, ταῖς κατολμωμέναις εἰρήνην ποιῶν, καὶ εὐωχῶν ἡμᾶς πολυδαισίᾳ κρεῶν· ἥ, τε διδυμοτόκος ὄϊς, οὐκ ἀπαξιοῦται τῆς λύρας, ὅτι πλείω τῷ ἔτει ἐκτρέφει τὰ ἔγγονα· τὴν δὲ κράδην θαμὰ καὶ τὴν ἄμπελον ἐντείναντες ψαλλόμεθα. οὐδὲν δὲ ὅσον εὐχαί τινες, ἔτι τε ᾆσμα, καὶ αἰτήσεις ἀγαθῶν ἀνθρώποις, καὶ φυτοῖς, καὶ βοτοῖς. ταῦτά σοι καὶ τὰ τοιαῦτα παρ' ἡμῖν ὅσια καὶ ἀρχαῖα καὶ πενήτων ἀγαθά. βασιλεῖς δὲ καὶ βασιλέως φίλοι, καὶ δαίμονος ὄρχησις, οἷα δὴ σιωπῶντες ἀκούομεν,

ὀνόματά τινα καθάπερ αἱ φλόγες ἐπὶ μέγα τῆς δόξης ἐξαπλούμενα καὶ σβεννύμενα. ταῦτα δεῦρο ἐπιεικῶς σιγᾶται, καὶ σχολὴ ταῖς ἀκοαῖς τοιούτων ἀκροαμάτων· ἐπεὶ καὶ βασιλεύς, ὅτι μὲν ζῆτε ἀεί, τοῦτ' ἴσως ἐπίστανται σαφῶς. ὑπομιμνησκόμεθα γὰρ ἅπαξ κατ' ἔτος ὑπὸ τῶν ἐκλεγόντων τοὺς φόρους. ὅστις δὲ οὗτος ἐστιν, οὐ μάλα ἔτι τοῦτο σαφῶς. ἀλλ' εἰσί τινες ἐν ἡμῖν, οἳ μέχρι καὶ νῦν Ἀγαμέμνονα κρατεῖν ἡγοῦνται τὸν ἐπὶ Τροίαν, τὸν μάλα καλόν τε καὶ ἀγαθόν. τοῦτο γὰρ παιδόθεν ἡμῖν ὡς βασιλικὸν παραδέδοται τοὔνομα· καὶ Ὀδυσσέα τινὰ φίλον αὐτοῦ ὀνομάζουσιν οἱ χρηστοὶ βουκόλοι, φαλακρὸν μὲν ἄνθρωπον, ἀλλὰ δεινὸν ὁμιλῆσαι πράγμασι, καὶ πόρον ἐν ἀμηχάνοις εὑρεῖν. ἀμέλει γελῶσιν, ὅταν περὶ αὐτοῦ λέγωσιν, ἡγούμενοι πέρυσιν ἐκτετυφλῶσθαι τὸν Κύκλωπα· καὶ ὡς εἵλκετο μὲν ὑπὸ τοῦ κριοῦ τὸ γερόντιον· ὁ δὲ κάθαρμα τὴν θύραν ἐτήρει, καὶ οὐραγεῖν ᾤετο τὸν ἡγεμόνα τῆς ποίμνης,

οὐκ

quædam ſunt nomina quæ tanquam flammæ ad magnam gloriam accenduntur & extinguuntur. Hæc prorſus hic ſilentur, & auribus eſt ad tales auditiones otium. Quòd quidem & Rex ſemper viuat, illud fortaſſe planè norunt (ab his enim qui tributa colligunt quotannis admonemur) quis autem iſte ſit, non admodum iſtud certò ſciunt. Sed quidam ſunt inter nos, qui ad hanc vſque diem Agamemnonem Atréi filium regno potiri exiſtimarunt; qui ad Troiam pulcherrimum illum & fortiſſimum exercitum duxit. Nomen iſtud vt regium à pueris nobis eſt traditum, & Vlyſſem aliquem amicum eius boni bubulci nominant, hominem quidem caluum, ſed qui in rebus verſari ſciat & qui exitum aliquem in rebus prope deſperatis reperire poſſit. denique rident, cum aliquid de eo narrant, putantes anno ſuperiore excęcatum eſſe Cyclopem & quemadmodum ſub ariete ſenex trahatur: ſceleratus autē ianuam ſeruet & putet eum greges agmen cogere,

non grauatum onere, indolescentem verò ipsius calamitate. Paullulum per epistolam nobiscum animo fuisti. spectasti rus: vistdii vitæ simplicitatē, talem dices, qualis fuit tempore Noë, priusquam in seruitute iustitia esset.

Eidem. 149.

Nobis semper etiam absens, præsens memoriæ obuersarjs. etenim, frater omnibus nominibus admirande, ne si valde quidem cupiamus, dulcissimi animi tui, integerrimorúmque morum possimus obliuisci. nam nihil queat esse apud nos tui recordatione sancrosanctius, quàm rursus venerādum tuum caput amplecti: quod vtinam aliquando concedat Deus, & te videamus, & audiamus tuum iucūdissimum sermonum tuorum sonum. Delectasti autem nos & iis rebus quas ad nos misisti. omnia enim accepimus, vtinam sanè aliquando veniat & congressionis tempus, & istud à Deo obtineam.

οὐκ ἀχθόμενοι τῷ φορτίῳ, τῇ δὲ αὐτοῦ συμφορᾷ συναχθόμενον. ἐγένου βραχύ τι διὰ τῆς ἐπιστολῆς μεθ' ἡμῶν τῇ γνώμῃ· τεθέασαι τὸν ἀγρόν. εἶδες ἁπλοῦν πολίτευμα· τὸν ἐπὶ Νῶε βίον ἔργοις, πρὶν γενέσθαι τὴν δίκην ἐν δουλείᾳ.

Τῷ αὐτῷ.

Ἡμῖν ἀεὶ καὶ ἀπὼν, ἐπιδημεῖς τῇ μνήμῃ. καὶ γὰρ οὐδ' ἂν εἰ πάνυ βουληθείημεν, ἐπιλαθέσθαι δυναίμεθα τῆς γλυκυτάτης σοῦ ψυχῆς καὶ τῶν ἀδολωτάτων ἠθῶν, ἀδελφὲ διὰ πάντα θαυμάσιε· ὡς οὐδὲν ἂν ἐν ἡμῖν γένοιτο τῆς περὶ σὲ μνήμης ἱερώτερον, ἢ τὸ πάλιν περιπτύξασθαι τὴν σεβασμίαν σοῦ κεφαλήν· ὃ δοίη ποτὲ θεὸς, καὶ ἴδοιμεν σε, καὶ ἀκούσαιμεν σου τῆς ἡδίστης τῶν λόγων ἠχοῦς· ὅσας δὲ ἡμᾶς καὶ οἷς ἀπέσταλκας· ἅπαντα γὰρ ἐκομισάμεθα. ἔλθοι δή ποτε καὶ συντυχίας καιρὸς, καὶ εὐτυχήσαιμι τοῦτο παρὰ θεοῦ.

Πυλαιμένει.

Οὐδὲ τὴν σὴν Ἡράκλειαν ἀνήκοον οἶμαι γεγονέναι τοῦ παρ' ἡμῖν φιλοσοφήσαντος Ἀλεξάνδρου, ἀνδρὸς ἁπανταχοῦ διαβοήτου μετὰ δόξης· κωφὸς ἀνήρ, ὃς Ἡρακλῆ στόμα μὴ περιβάλῃ· τούτου παῖς, ἐμὸς ἀνεψιός, ἐπιδώσει σοι τὴν ἐπιστολήν, τὸν πατρῷον ζῆλον ὑπεισελθών, οὐ διὰ τῆς στολῆς, ἀλλὰ διὰ τῆς γνώμης. στέλλεται δὲ νῦν ἐπὶ πονηροὺς ἄνδρας, τὸν Ἡράκλειον τρόπον ἐκκαθαίρων αὐτοῦ τὴν πατρίδα. θεοῦ δὲ ἔδει δήπου καὶ Ἡρακλέους· οὐ μὴν ἀλλὰ καὶ Ἰόλεω συμμάχου καὶ παραστάτου. οὐκοῦν τὸν μὲν θεὸν ἑαυτοῦ ποιεῖται διὰ τὸν ἐνόντα τρόπον, τῷ προσηκόντως βίου τε ἀρετῇ καὶ γνώμης εὐσεβείᾳ, τὴν δὲ σὴν φιλίαν, ἀντὶ τῆς Ἰόλεω μνηστευόμεθα ἡμεῖς αὐτῷ διὰ τῆς ἐπιστολῆς. συνέσῃ δὲ τοσαῦτα αὐτῷ, ὅσα ἡμῖν· κἂν χρήσῃ τῇ φιλίᾳ τοῦ νεανίσκου, πάντως ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Pylæmeni. 150.

Neque arbitror patriam tuam Heracleam non audiuiſſe Alexandrum, qui apud nos philoſophatus eſt, virum qui quocunque cum gloria perſuaſit. Vir mutus qui non os Herculi accommodauerit. Eius puer, meus cognatus reddet tibi epiſtolam, qui ſubiit & ingreſſus eſt inſtitutum paternum non amictu & pallio, ſed animo & voluntate. mittitur igitur in improbos viros more Herculis, his expurgans patriam. Dei autem auxilio nimirum & Hercule opus erat. verumtamen etiam Iolao ſocio & adiutore. Igitur Deum ſuum faciet, quantum fieri poteſt, & vitæ integritate & animi pietate. tuam autem amicitiã pro Iolai conciliamus ei per epiſtolam: verſaberis autem tantum cum ipſo, quantum nobiſcum. Et ſi vtaris amicitia iuuenis, dices me non improbum laudatorem.

Eidem. 151.

Vtrum mihi permanebis philosophus? an ille quem reliqui, Pylæmenes, recens animus perfectus & absolutus, semen diuinum? timeo tempus, quod ab ortu fluxit. multo magis formido consuetudinem fori, quódque implicatus sis multis fortunis & actionibus, ne contaminet sanctissimum templum, sacram tuam mentem, quam ego cum paucis dignissimum Dei receptaculum existimo. & verò scio me aliquando tecum celebrare philosophiæ sacra in votis habuisse. sed quoniam potior fuit amor patriæ, optaui vbicumque terrarum esses, vt pro viribus philosophiam coleres. Quocirca saluto dilectum caput, & sæpius saluto dilectum caput, & tacens, & dicens, & scribens, & non scribens.

Mens sanũ.

Τῷ αὐτῷ.

Ἆρά μοι μένεις φιλόσοφος; ἆρα ἐκεῖνος ὃν ἀπολέλοιπα, Πυλαιμένης, ἡ νεοτελὴς ψυχὴ, ὦ σπέρμα τὸ θεῖον; φοβοῦμαι τὸν χρόνον τὸν ἀπὸ γενέσεως. πλέον φοβοῦμαι τὴν ὁμιλίαν τῆς ἀγορᾶς, ᾧ ἐγκαλινδεῖσθαι συχναῖς ἤδη τύχαις καὶ πράξεσι, μὴ μολύνῃ τὸν ἁγιώτατον νεὼν, τὸν νοῦν σου τὸν ἱερὸν, ὃν ἐγὼ μετ' ὀλίγων ἀξιώτατον ἡγοῦμαι δοχέα θεοῦ. καὶ οἶδα μέν τοι συνοργιάσαι σοὶ τὰ φιλοσοφίας, εὐχὴν ποτε ποιησάμενος. ἐπεὶ δὲ σοῦ κρείττων ὁ τῆς πατρίδος ἔρως ἐγένετο, ηὐξάμην ὅπου ποτὲ γῆς εἴης, φιλοσοφίαν ἐργάζεσθαί σε κατὰ δύναμιν. τοιγαροῦν ἀσπάζομαι τὴν φίλην κεφαλὴν, καὶ πάνυ πολλάκις ἀσπάζομαι τὴν φίλην κεφαλὴν, καὶ σιγῶν, καὶ λέγων, καὶ γράφων, καὶ μὴ γράφων.

Τῷ αὐτῷ.

Οἴου με περιπλύνεσθαι Πυλαιμένην, αὐτὴν τὴν ψυχήν, αὐτῇ τῇ ψυχῇ. ἀπορῶ λόγων οἷς ἐκχέοιτο ὅσον ἐστὶ τῆς γνώμης μου τὸ βουλόμενον· μᾶλλον δὲ οὐδὲ αὐτὸ μου τὸ πάθος, ὅ, τι ποτέ ἐστι τὸ περί σε μου τῆς ψυχῆς ἐξευρίσκω. ἐγένετο δέ τις ἀνὴρ δεινὸς τὰ ἐρωτικά, Πλάτων ὁ Ἀρίστωνος Ἀθηναῖος, εὔπορος εὑρεῖν, εὔκολος εἰπεῖν ἐραστοῦ φύσιν, ὃ δὴ καὶ ὅ, τι αὐτῷ γενέσθαι περὶ τὰ παιδικὰ βούλεται· καὶ παρ' ἐμοῦ τοίνυν ἐξευρηκώς τε ἔστω, καὶ εἰρηκώς. βούλοιτ' ἂν οὖν, φησί, Ἡφαίστου τέχνῃ συντακῆναί τε καὶ συμφυῆναι, καὶ ἓν ἄμφω γενέσθαι.

Τῷ αὐτῷ.

Δι' ἔτους ἡμῖν ἀφικνεῖται παρὰ σοῦ γράμματα, ὥσπερ τὴν ὥραν καὶ τοῦτο φερουσῶν. ἐμοὶ μὲν οὖν ἴσως καρπὸς ἡδίων ἐστίν, ἢ οἱ ἐκτρέφουσι μηνῶν κύκλοι, καὶ γεωργοί.

Eidem. 152.

Exiſtimato me amplecti Pylæmenem, ipſum animum ipſo animo. deficiunt verba quib. exprimatur animi mei voluntas, imò verò ne ipſe quidē meus affectus quid tandem ſit erga te animi mei, inuenio. fuit verò vir aliquis amandi peritus, Plato Athenienſis Ariſtonis filius, promptus ad inueniendum, facilis ad amatoris naturam exprimendam, & vero quod ſibi in amoribus accidere cupit: per me igitur inuenerit & dixerit. Vellet igitur, vt ait, Vulcani arte colliquari & conflari, & vnum ambos fieri.

Eidem. 153.

Annuæ ad nos veniunt à te literæ, tanquam anni temporibus hoc ferētibus. At mihi quidem fortean fructus iſte iucundior eo, quem enutriunt mēſium circuitus, & agricolæ.

tu autem non æquum facis, nos lætitia, quam ex iis excipimus, orbans. itaque muta mẽtem, & facito nobis hoc saltem anno felicem epistolarum prouentum.

Philosophiæ. 154.

Hoc anno duos libros edidi, vnum, quidem à Deo impulsus, alterum verò à maledicentia hominum. Etenim eorum nonnulli qui in candidis, & fuscis sunt palliis, dixerunt me in philosophiam iniurium esse, qui elegantiæ in dictionibus & numeris peritus essem, & de Homero quid depromere vellem, & de figuris eloquẽtiæ; quod nimirum philosophum oporteat eloquentiæ osorem esse, & solas res diuinas inuestigare, & isti quidem facti contemplatores eius, quod sub intelligentiam cadit: me autem nefas est, quia aliquid ex vita otii ad purgandã linguã, & vt ingeniũ iucũdius sit, tribuo. impellebat

* *librum aduersus detractores suos scripserat Synesius.*

σὺ δὲ οὐκ ἂν εἰκότα ποιοίης, τῆς ἐπὶ ἡμᾶς εὐφροσύνης ἀποστερῶν. ἀλλὰ μετάθου τὴν γνώμην, καὶ ποίησον ἡμῖν τὸ γοῦν τῆτες εὐετηρίαν ἐπιστολῶν.

Τῇ φιλοσόφῳ.

Τῆτες ἐξενήνοχα δύο βιβλία, τὸ μὲν, ὑπὸ τοῦ θεοῦ κινηθείς· τὸ δὲ, ὑπὸ λοιδορίας ἀνθρώπων. καὶ γὰρ τῶν ἐν λευκοῖς ἔνιοι τρίβωσι καὶ τῶν ἐν φαιοῖς, ἔφασκόν με παρανομεῖν εἰς φιλοσοφίαν, ἐπαΐοντα κάλλους ἐν λέξεσι, καὶ ῥυθμοῦ, καὶ περὶ Ὁμήρου τι λέγειν ἀξιοῦντα, καὶ τῶν ἐν ταῖς ῥητορείαις σχημάτων, ὡς δὴ τὸν φιλόσοφον μισολόγον εἶναι προσήκειν, καὶ μόνα περιεργάζεσθαι τὰ δαιμόνια πράγματα. καὶ αὐτοὶ μὲν θεωροὶ τοῦ νοητοῦ γεγονότες. ἐμὲ δὲ οὐ θέμις, διότι νέμω τινὰ σχολὴν ἐκ τοῦ βίου, τοῦ καὶ τὴν γλῶτταν καθήρασθαι, καὶ τὴν γνώμην ἡδίω γενέσθαι· ἐκεῖγε

δὲ αὖθις εἰς τὸ καταδικάσαι μου πρὸς μόνην παιδιὰν ἐπιτήδειον εἶναι, τὸ τὰς κυνηγετικὰς ἐκ τῆς οἰκίας οὐκ οἶδ' ὅπως διαρρυείσας, σπουδασθῆναι διαφερόντως ὑπὸ νεανίσκων ἐνίων, οἷς ἑλληνισμοῦ τε καὶ χάριτος ἔμελε, καί τινα τῶν ἐκ ποιητικῆς ἐπιμελῶς ἔχοντα, καὶ παραδεικνύοντα τι τῆς ἀρχαίας χειρὸς, ὅπερ ἐπὶ τῶν ἀνδριάντων λέγειν εἰώθαμεν. ἀλλ' ἐκείνων οἱ μὲν, ἀμαθίας ἡγούμενοι τοῦ θράσους, προχειρότατοι πάντων εἰσὶ περὶ τοῦ θεοῦ διαλέγεσθαι· οἷς ἂν ἐντύχῃς, εὐθὺς ἀκούσῃ τινὰ περὶ τῶν ἀσυλλογίστων συλλογισμῶν, καὶ μὴ δεομένων ἐπαντλοῦσι τῶν λόγων, ἰδίᾳ τι δοκῶ μοι διαφέρειν αὐτοῖς. ἀπὸ γὰρ τούτων ἐν ταῖς πόλεσιν οἱ δημοσιοδιδάσκαλοι γίνονται, ὃ ταυτόν ἐστι καὶ τὸ κέρας τῆς Ἀμαλθείας, ᾧ οὗτοί γε δεῖν οἴονται χρῆσθαι. ἐπιγινώσκεις οἶμαι τὸ φῦλον τοῦτο τὸ ῥᾴδιον, ὃ διαβάλλει γενναίαν ὑπόθεσιν· οὗτοί με μαθητὴν ἑαυτοῖς ἀξιοῦσι, καί φασιν ἀποφαίνειν ἐντὸς ὀλίγου τὰ περὶ θεοῦ πολυτολμότατον, ἡμέρας ἑξῆς καὶ νύκτας ἀγορεύειν δυνάμενον· ἅτεροι δὲ οἱ κάλλιον

autem eos ad me contemnendum, quod accommodatus essem ad solum lusum, quod libri de venatione, nescio quomodo è domo elapsi, ab adolescentibus nonnullis eximiè colerentur, quibus græcus sermo & elegantia, curæ erat, & diligenter elaborata quædam ex arte poëtica, & ostẽdentia aliquid antiquæ manus, quod in statuis soliti sumus dicere. Verum illorum alteri, inscitia duce audaciæ, promptissimi omnium ad disputandum de Deo sunt: in quos si incidas, statim audies quædam de ratiocinationibus male cõcludentibus, & cum homines non postulant disputationes funditãt, quod, vt arbitror, ipsis priuatim est vtile. Ex his enim publici in ciuitatibus doctores fiunt, quod idẽ est & cornu Amaltheæ, quo isti oportere se solos vti existimant. agnoscis, arbitror, istud genus facile ac leue, quod nobile institutum reprehendit. Isti vt discipulus eorum sum, postulant, & aiunt se breui audacissimum ad dicendũ de Deo, continuas dies ac noctes reddere. alij vero qui elegan-

tius veſtiti, multo ſunt his infelicio-res ſophiſtæ, & optarent quidem iiſ-dem nominibus ſpectati ac celebres eſſe, verùm felicitate quadam conſe-cuti ſunt, vt ne hoc poſſint. Et ſcis quoſdam, qui ſe in ſcholis calculato-riis exuerunt, aut omnino ab vna ali-qua calamitate perſuaſi ſunt ſe in vitę meridie philoſophari, ex eo ſolo quod inficiando & affirmando more Plato-nis Deos iurent, quos vmbra ipſa an-teuenerit, locuta quid vtile. veru ntamen mirifica aſſimulatio, ſupercilium enim, (ô elationem!) valde eleuatum eſt, & manus barbã ſuſtinet, & in re-liquis ſeuero ſtant vultu, vltra ima-gines Xenocratis. qui quidem nobis volunt præſcribere quæ ſibi vtiliſſima ſunt, neminẽ videri quidquam boni ſcire; exiſtimantes ſui refutationem ac improbationem eſſe, ſi quis, qui vi-deatur eſſe Philoſophus, ſciat loqui. Ipſi enim putant ſub illa aſſimulatio-ne ſe latituros, & viſum iri intus eſſe ſapientiæ plenos. Ambo iſta hominũ genera me accuſarunt, vt qui rebus nullius pretij operam darem, alte-rum quidem, quia non nugor eadem,

ἠθημένοι, παρὰ πολὺ τούτων εἰσὶ κακοδαιμονέστεροι σοφισταί· καὶ βούλοιντο μὲν ἂν ἐπὶ τοῖς αὐτοῖς εὐδοκιμεῖν· ἀλλ' ἀτυχοῦσι δὲ μηδὲ τοῦτο δύνασθαι· καὶ οἶσθά τινας ἐν λῃστηρίοις ἀποδύντας, ἢ πάντως ἀπὸ μιᾶς γέ του συμφορᾶς ἀναπεισθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν, ἀπὸ μόνου τοῦ τοὺς θεοὺς ἀπομόσαι καὶ κατομόσαι Πλατωνικῶς· οὓς φθάσειεν ἂν ἡ σκιὰ φθεγξαμένη τι τῶν δεόντων. δεινὴ δὲ ὅμως ἡ προσποίησις· ἥ τε γὰρ ὀφρύς, βαβαὶ τῆς ἀνατάσεως, εἰς ὅσον ἦρται, καὶ ἡ χεὶρ ὑπερείδει τὸ γένειον· τά τε ἄλλα σεμνοπροσωποῦσιν ὑπὲρ τὰς Ξενοκράτους εἰκόνας, οἵ γε καὶ νομοθετεῖν ἡμῖν ἀξιοῦσιν ἄττα σφίσι λυσιτελέστατα, μηδένα μηδὲν ἀγαθὸν εἰδότα φανερὸν εἶναι, ἡγούμενοι σφῶν αὐτῶν ἔλεγχον, εἴ τις φιλόσοφος εἶναι δοκῶν ἐπιστήσεται φθέγγεσθαι· αὐτοὶ γὰρ ἂν ὑπὸ τῇ προσποιήσει λαθεῖν καὶ δόξαι τὸν ὕθλον εἶναι σοφίας ἀνάπλεω. ἄμφω με τούτω τὼ γένη διαβεβλήκατον, ὡς ἐπὶ τοῖς οὐδενὸς ἀξίοις ἐσπουδακότα· τὸ μὲν, ὅτι μὴ

ταῦτα φλυαρεῖ· ὁ δὲ, ὅτι μὴ τὸ στόμα συγκλείσας ἔχω, καὶ τὸν βοῦν τὸν ἐκ Διὸς ἐπὶ τῆς γλώττης τίθεμαι. ἐπὶ τούτοις συνετέθη τὸ σύγγραμμα, καὶ ἀπήντησε τῶν μὲν τῇ φωνῇ, τῶν δὲ τῇ σιγῇ. προῆκται μὲν γὰρ ὡς ἐπὶ τούτοις αὖθις τοῖς ἀφώνοις τε καὶ βασκάνοις, πῶς οἴει μετ' εὐπρεποῦς τοῦ σχήματος. οὐ μὴν ἀλλ' ἐξεῦρεν, ὡς ἂν κἀκείνους συνεφελκύσαιτο, καὶ βούλεται μὲν πολυμαθείας οὐχ ἧττον ἐπίδειξις, ἢ ἐγκώμιον εἶναι. οὐ γὰρ ἐξωμοσάμην τὰς αἰτίας· ἀλλ' ἵν' ἔτι μᾶλλον ἀνιῷντο, συχνὰ καὶ πεφιλοτίμημαι, περὶ ἰὸν δὲ βίων αἱρέσεις ἐξετάζειν, ἐπαινεῖ τὴν φιλοσοφίαν, ὡς φιλοσοφωτάτην αἱρέσεων, ἣν ποίαν τινὰ νομίζειν εἶναι χρή, τοῦ βιβλίου πυνθάνου· τελευτῶν δὲ, καὶ περὶ τῶν κιβωτίων ἀπολελόγηται, χρόνων ἵνα καὶ τούτων αἰτίαν, ἀδιόρθωτα κρύπτειν βιβλία. οὐ γὰρ οὐδὲ τῶν τοιούτων οἱ τελχῖνες ἀπείχοντο· εἰ δὲ ἕκαστον ἐν τάξει τῇ προσηκούσῃ, καὶ πάντα σὺν ὥρᾳ, καὶ ἀφορμαὶ δίκαιαι τῶν ἑκασταχοῦ προκεχειρισμέ-

alterum verò, quia occlusum os non habeo, & bouem illorum in lingua pono. Contra hos quidam conscriptus est à me liber, & occurrit aliorum quidem garrulitati, aliorū verò silentio. Inductus quidem est, vt in hos ipsos & mutos & inuidos, cum venusta figura, quam putas: veruntamen reperit quo pacto etiam illos vna attraheret. Et quidem vult liber non minus multæ & variæ ostentatio eruditionis, quàm laus esse. Neque enim inficiatus sum crimina, sed vt adhuc magis angerentur, plurimum etiam me venditaui. Progrediens vero ad expendendum vitæ sectas, laudat philosophiam, tanquam inter sectas sapientiæ studiosissimam, quæ qualis existimanda sit, consule librum. Postremo autem purgauit & pro scrinijs, cum habuerint & ista crimen aliquod, quia celarent inemendatos libros. Neque enim se etiam talibus obtrectatores abstinuere. Si quodque in loco apto collocatum est, & tempore, & occasiones vbique iustæ sint, eorum quæ prolata

ſunt, pluribúſque capitibus diſtributus ſit, vt diuinus liber, qui Phædrus inſcribitur, quem de omnibus ſimul pulchritudinis formis Plato edidit, comparata autem ſint omnia vt conſentiant in id vnum, quod propoſitum eſt: ſic vbi probatio ſupinæ narrationi ſubrepſerit, vt in tali argumento demonſtratio ex fide, & ſi quid ob aliud factum eſt, hæc quidem artis & naturæ munera fuerint. Quiqui autem non inexercitatus eſt in deprehendenda diuina aliqua perſona, ſub deteriore veſtitu latente, quemadmodum faciebant Athenis opifices, Venerem & Gratias & huiuſmodi decora deorum, imaginibus Silenorum, & Satyrorum veſtientes, eum non fallet iſte liber, qui multa detexit decreta non profana ſub aſſimulatione vacandi latentia alijs, & quia nimium temere, & vt videri poſſit, ſimpliciter inſperſa ſunt orationi. Refrigerationes à lunari cauſa profectas ſoli ſentiunt, qui morbo comitiali laborant: cura mentis verò

εισμένων, καὶ εἰ μερίζεται μὲν πλείοσι
κεφαλαίοις κατὰ τὸ θεσπέσιον γράμμα, τὸν
Φαῖδρον, ὃν περὶ πάντων ὁμοῦ τῶν εἰδῶν τοῦ
καλοῦ Πλάτων ἐξήνεγκε· μεμηχάνηται
δὲ ἅπαντα συννεύειν εἰς* ἓν τὸ προκείμε- γρ. ἐφ' ἕν
νον, καὶ εἴπου γέγονε πίστις ὑφέρπουσα τὸ ὑ-
πτιάσαν διήγημα, καὶ εἰ προσῆλθεν ὡς ἐν
τοιούτοις ἀπόδειξις ἐκ τῆς πίστεως· καὶ εἰ
τὸ δι' ὅλου γινόμενον, ταῦτα μὲν, τέχνης ἂν
εἴη δῶρα καὶ φύσεως. ὅστις δὲ οὐκ ἀγύμνα-
στος ἐπιφωράσαι τι καὶ πρόσωπον θεῖον ὑ-
πὸ φαυλοτέρῳ κρυπτόμενον σχήματι, ὥσπερ
ἐποίουν Ἀθήνησιν οἱ δημιουργοὶ, Ἀφροδίτην
καὶ χάριτας καὶ τοιαῦτα κάλλη θεῶν, ἀγάλ-
μασι Σιληνῶν καὶ Σατύρων ἀμπίσχοντες,
τούτου οὐ λήσεται τὸ γράμμα, συχνὰ καὶ τῶν ἀβε-
βήλων ἀποκαλύψαι δογμάτων ὑπὸ τῇ προσ-
ποιήσει τοῦ παρέλκειν ἑτέροις λανθάνοντα, καὶ
τῶν* λίαν ἐκχεῖ καὶ ὡς ἂν δόξειεν ἀφελῶς ἐγκα- γρ. τῶν
ταπαρῆφθαι τῷ λόγῳ. τῶν μὲν γὰρ ἐκ τῆς λ.
σεληνιακῆς αἰτίας ἀποψύξεων, οἱ νοσοῦν-
τες ἐπιληψίαν, αἰσθάνονται μόνοι· τῶν δὲ κατὰ

